# 7 The Scholia in Munich, BSB, gr. 208 (GA 053), ff. 235r–248v

## 1. f. 235r

Ἐπειδὴ ὑπέρογκον ἦν τὸ ἐπιχείρημα ἄνθρωπον ὄντα θεοῦ διδασκαλίαν καὶ ῥήματα συγγράφειν, εἰκότως ἀπολογεῖται ἐν τῷ προοιμίῳ.

## 2. f. 235r

Ὥσπερ δὲ ἐν τῷ παλαιῷ πολλοὶ προφητείαν ἐπηγγέλλοντο, ἀλλὰ τούτων τινὲς μὲν ἦσαν ψευδοπροφῆται, τινὲς δὲ ἀληθῶς προφῆται· καὶ ἦν χάρισμα τῷ λαῷ διάκρισις πνευμάτων, ἀφ’ οὗ ἐκρίνετο ὅ τε ἀληθὴς προφήτης καὶ ὁ ψευδόμενος· οὕτω ἐν τῇ καινῇ διαθήκῃ, τὰ Εὐαγγέλια πολλοὶ ἠθέλησαν γράψαι. Ἀλλ’ οἱ δόκιμοι τραπεζῖται οὐ πάντα ἔκριναν, ἀλλά τινα ἐξ αὐτῶν ἐξελέξαντο. Τάχα δὲ καὶ τὸ *ἐπεχείρησαν* λεληθυῖαν ἔχει κατηγορίαν τῶν χωρὶς χαρίσματος ἐλθόντων ἐπὶ τὴν ἀναγραφὴν τῶν Εὐαγγελίων. Ματθαῖος γὰρ οὐκ ἐπεχείρησεν, ἀλλ’ ἔγραψεν ἀπὸ τοῦ ἁγίου Πνεύματος· ὁμοίως καὶ Μάρκος, καὶ Ἰωάννης παραπλησίως δὲ καὶ Λουκᾶς. Τὸ μέντοι ἐπιγεγραμμένον κατ᾽ Αἰγυπτίους Εὐαγγέλιον, καὶ τὸ τῶν δώδεκα οἱ συγγράψαντες ἐπεχείρησαν. Ἐτόλμησε δὲ καὶ Βασιλείδης γράψαι κατὰ Βασιλείδην Εὐαγγέλιον. Πολλοὶ μὲν οὖν ἐπεχείρησαν, φέρατι γὰρ καὶ τὸ κατὰ Θωμᾶν εὐαγγέλιον, καὶ τὸ κατὰ Ματθίαν, καὶ ἄλλα. Τὰ δὲ τέσσαρα ἐγκρίνει ἡ Ἐκκλησία.

---

**1, 1–2** Ἐπειδὴ … προοιμίῳ] Orig. fr. 1a; Orig. *Scholia* 17.312,10–12 **2, 1–12** Ὥσπερ … Ἐκκλησία Orig. *Hom.* 1.3,4–5,17; Orig. *Scholia* 17.312,12–33 | Ὥσπερ…Ἐκκλησία Zac. 003-1; Pal. gr. 273, f. 1v **5–12** Τάχα … Ἐκκλησία Cramer 2.6,21–7,1

---

**2, 1** παλαιῷ] πάλαι Orig. *Hom.* 1.3,4; Orig. *Scholia* 17.312,13 **2** τῷ λαῷ] om. Orig. *Scholia* 17.312,15 **3** οὗ] χαρίσματος Orig. *Scholia* 17.312,16 | τε om. Orig. *Scholia* 17.312,16 ψευδόμενος] ψευδώμενος Orig. *Hom.* 1.3,12: ψευδοπροφήτης Orig. *Scholia* 17.312,17 | οὕτω] καὶ νῦν add. Orig. *Hom.* 1.3,14 Orig. *Scholia* 17.312,17 **5** ἔκριναν] ἐνέκριναν Orig. *Hom.* 1.3,17 | δὲ] suppl. Maxim. Confess. QT 23,19 **6** τῶν] προπετῶς καὶ add. Orig. *Scholia* 17.312,21–22 7 ἀπὸ τοῦ ἁγίου ἀπὸ ἁγίου Orig. Hom. 1.4,9: ἐξ ἁγίου κινούμενος Orig. *Scholia* 17.312,24 **8** δὲ om. Orig. *Scholia* 17.312,25 **9** τὸ ἐπιγεγραμμένον add. Orig. Hom. 1.4,18–19 Orig. *Scholia* 17.312,27 | δώδεκα] Εὐαγγέλιον add. Orig. *Hom.* 1.4,19 Orig. *Scholia* 17.312,28 **10** ἐπεχείρησαν om. id. 23,71 | Ἐτόλμησε δὲ] Ἤδη δὲ ἐτόλμησε Orig. *Hom.* 1.5,6 **10–12** Ἐτόλμησε … Ἐκκλησία] Φέρεται δὲ καὶ τὸ κατὰ Θωμᾶν Εὐαγγέλιον. Ἤδη δὲ ἐτόλμησε καὶ Βασιλείδης συγγράψαι κατὰ Βασιλείδην Εὐαγγέλιον. Πολλοὶ μὲν οὖν ἐπεχείρησαν καὶ τὸ κατὰ Ματθίαν, καὶ ἄλλα πλείονα. Ἀλλὰ τὰ τέσσαρα μόνα προκρίνει ἡ τοῦ Θεοῦ Ἐκκλησία Orig. *Scholia* 17.312,29–33 **11** φέρατι φέρεται 10–12 Orig. Hom. 1.5,9 **12** ἄλλα] πλείονα add. Orig. *Hom.* 1.5,11 | Τὰ om. id. 23,73

Open Access. © 2024 Panagiotis Manafis, published by De Gruyter. BY-NC-ND This work is licensed under the Creative Commons Attribution-NonCommercial-NoDerivatives 4.0 License.
https://doi.org/10.1515/9783111325118-007

### 3. f. 235r

Περὶ τῶν πεπληροφορημένων δὲ εἰπὼν, τὴν διάθεσιν ἑαυτοῦ ἐμφαίνει. Πεπληροφόρητο γὰρ καὶ ἐν οὐδενὶ ἐδίσταζεν, πότερον οὕτως ἔχει ἢ οὔ. Γίνεται περὶ τοὺς βεβαίως πιστεύοντας καὶ εὐχομένους καὶ ἐπιτυχόντας καὶ εἰπόντας· *βεβαίωσόν με ἐν τοῖς λόγοις σου*. Οὐχ ἁπλῶς πεπιστευμένων εἶπεν, ἀλλὰ πεπληροφορημένων, τὸ ἀπαράβατον τοῖς λεγομένοις μαρτυρῶν. Οὐδὲν δὲ οὕτως πληροφορεῖ ὡς νοῦς καὶ λόγος· ὄψις γὰρ οὐ πληροφορεῖ, ἐπεὶ οὐκ ἀπὸ σημείων καὶ τεράτων ὁρατῶν κρίνεται τὰ πράγματα, ἀλλὰ λόγῳ κρίνεται, ποῖα τὰ ἀληθῆ καὶ ποῖα τὰ ψευδῆ.

### 4. f. 235r

*Πραγμάτων* δὲ εἶπεν, ἐπειδήπερ οὐ κατὰ φαντασίαν κατὰ τοὺς τῶν αἱρετικῶν ἐδραματούργησεν Ἰησοῦς τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν, ἀλλ᾽ ἀλήθεια ὢν πρὸς ἀλήθειαν ἐνήργησε τὰ πράγματα.

### 5. f. 235r

Οἱ *αὐτόπται*, φησί, καὶ *ὑπηρέται τοῦ λόγου*. Ἐν μὲν τῇ Ἐξόδῳ γέγραπται· *ὁ λαὸς ἑώρα τὴν φωνὴν τοῦ κυρίου*. Καίτοι γε φωνὴ οὐ βλέπεται, ἀλλ’ ἀκούεται, ἵνα δηλωθῇ παραδόξως, ὅτι ἡ τοῦ θεοῦ φωνὴ βλέπεται, οἷς βλέπεται. Ἐν δὲ τῷ εὐαγγελίῳ οὐχ ἡ φωνὴ βλέπεται, ἀλλ’ ὁ κρείττων τῆς φωνῆς λόγος.

---

**3, 1–4** Περὶ…σου Orig. *Hom.* 1.5,25–6,10 **1–7** Περὶ…ψευδῆ Zac. 004-1; Pal. gr. 273, f. 1v **4–5** Οὐχ…μαρτυρῶν Orig. fr. 1b; Orig. *Scholia* 17.312,33–35 **5–7** Οὐδὲν…ψευδῆ Orig. *Hom.* 1.7,21–27 **4, 1–3** Πραγμάτων…πράγματα Orig. fr. 1c | Zac, 004-1; Pal. gr. 273, f. 1v **5, 1–4** Οἱ…λόγος Orig. *Hom.* 1.7,4–13 | Zac. 005-2; Pal. gr. 273, f. 1v

---

**3, 1** τῶν πεπληροφορημένων] Ὅ γε μὴν Λουκᾶς εἰπών· περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων Orig. *Hom.* 1.5,25–27 | ἐμφαίνει] οὐδὲν ἀμφιβάλλων οὐδὲ εἰκάζων, ἀλλὰ πάντα μετὰ παρρησίας ἐβεβαίωσεν ὡς εὖ εἰδώς add. Orig. *Hom.* 1.6,1–4 **2** Γίνεται] Τοῦτο δὲ γίνεται Orig. *Hom.* 1.6,7 **4** ἁπλῶς] δὲ add. Orig. fr. 1b Orig. *Scholia* 17.312,33 πεπιστευμένων εἶπεν] εἶπε πεπιστευμένων Orig. *Scholia* 17.312,34 **5** δὲ] γὰρ Orig. *Hom.* 1.7,21 **4, 1** εἶπεν] φησιν Orig. fr. 1c | αἱρετικῶν] add. παῖδας Orig. fr. 1c **2** ἀλήθεια ὢν] τυγχάνων ἀλήθεια Orig. fr. 1c

## 6. f. 235r

Διὰ τοῦτο· *καθὼς παρέδοσαν οἱ αὐτόπται τοῦ λόγου*. Οὐκοῦν οἱ ἀπόστολοι *αὐτόπται τοῦ λόγου* ἦσαν οὐ μόνον ἑωρακότες τὸν Ἰησοῦν κατὰ σῶμα, ἀλλὰ καὶ τὸν θεοῦ λόγον. Εἰ γὰρ τὸ ἑωρακέναι τὸν Ἰησοῦν κατὰ σῶμα *αὐτόπτην τοῦ λόγου* γίνεσθαι ἦν, καὶ Πιλᾶτος *αὐτόπτης τοῦ λόγου* ἦν καὶ Ἰούδας ὁ προδότης καὶ οἱ λέγοντες· *σταύρου, σταύρου αὐτόν*. Ἀλλ' ἀπείη λέγειν, ὅτι ἐκεῖνοι ἦσαν *αὐτόπται τοῦ λόγου*.

## 7. ff. 235r–235v

Τὸ οὖν ἰδεῖν τὸν λόγον ἐκεῖ ἐννοεῖται, ὅπου ἔλεγεν ὁ σωτήρ· *ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα τὸν πέμψαντά με*. Λεληθὸς δέ τι καλὸν μάθημα διδάσκει ἐνταῦθα ὁ Λουκᾶς, ὅτι τινῶν μὲν θεωρημάτων τὸ τέλος ἡ θεω(f. 235v)ρία ἐστίν, τινῶν δὲ θεωρημάτων τὸ τέλος ἡ πρᾶξις. Ἵνα μὲν οὖν διὰ τοῦ *αὐτόπται* δηλώσῃ τὸ θεωρητικόν, διὰ δὲ τοῦ *ὑπηρέται* τὸ πρακτικὸν αὐτῶν παραστήσῃ, *αὐτόπται καὶ ὑπηρέται* εἶπεν.

## 8. f. 235v

Δύνασαι δὲ καὶ ἑτέρως ἐκλαβεῖν τό· *ὑπηρέται τοῦ Λόγου*· ἤτοι τοῦ διδασκαλικοῦ, ὃν παρεδίδου ὁ Σωτήρ· ἢ καὶ αὐτοῦ τοῦ Θεοῦ Λόγου, ᾧ καὶ ἐξ ὑπηρετήσαντο παρόντες οἱ μαθηταί.

## 9. f. 235v

Ὅτι μὲν οὖν παρὰ τῶν αὐτοψίᾳ θεασαμένων καὶ αὐτηκόων γενομένων παρέλαβεν, σαφῶς ὡμολόγησε δι' ὧν εἶπεν· *καθὼς παρέδοσαν ὑμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου*. Καὶ χρὴ τούτῳ μὲν καὶ τῷ Μάρκῳ πείθεσθαι, ὡς ἅπερ ἀκηκόασιν ἀκριβῶς ἀναγραψαμένοις, Ἰωάννῃ δὲ καὶ Ματθαίῳ, ὡς ἅπερ

---

**6, 1–5** Διὰ … λόγου Orig. *Hom.* 1.7,13–8.3 | Zac. 005-2; Pal. gr. 273, f. 1v **7, 1–6** Τὸ … εἶπεν Orig. *Hom.* 1.8,3–9.10 | Zac. 005-2; Pal. gr. 273, f. 1v **8, 1–3** Δύνασαι … μαθηταί Orig. fr. 4; Orig. *Scholia* 17.313,32–36 | Zac. 005-2; Pal. gr. 273, f. 1v **9, 1–7** Ὅτι … διάδοχοι Orig. fr. 5,1–7 | Zac. 005-1; Pal. gr. 273, f. 1v

---

**7, 2** Λεληθὸς] Καὶ λεληθότως Orig. *Hom.* 1.8,11 | διδάσκει] Orig. *Hom.* 1.8,12 **2–3** ἐνταῦθα ὁ Λουκᾶς] ὁ Λουκᾶς ἐνταῦθα Orig. *Hom.* 1.8,12 **8, 1** ὑπηρέται] add. Orig. *Scholia* 17.313,33 **2** ἐξ ὑπηρετήσαντο] ἐξυπηρέτησαν Orig. *Scholia* 17.313,35–36 **9, 2** εἶπεν] εἰπών Orig. fr. 4,2 **3** τῷ om. Orig. fr. 5,4

ἑωράκασι γράφουσι. Τὰ οὖν νόμιμα εὐαγγέλια τιμητέον ἐξ ἴσου, μὴ νόμον τὴν ὄψιν τῶν ἑωρακότων τιμώντων, ἀλλὰ καὶ τὴν ἀκοὴν τῶν ἀκηκοότων· ἀληθεῖς γὰρ ἀληθῶν διάδοχοι.

**10. f. 235v**

Τοῦ Λόγου δὲ αὐτόπτας εἰπών, συμπεφώνηκε τῷ Ἰωάννῃ λέγοντι τὸν Λόγον σάρκα γεγονέναι, καὶ τεθεωρῆσθαι τὴν δόξαν αὐτοῦ. Διὰ γὰρ τῆς σαρκός, θεωρητὸς ὁ Λόγος κατέστη, ἀθεώρητος ὢν τὸ κατ’ αὐτόν.

**11. f. 235v**

Διαβεβαιοῦται δέ, ὅτι ἄνωθεν παρηκολούθησεν οὔ τισι τῶν εἰρημένων, ἀλλὰ πᾶσιν. Εἰκὸς δὲ ὑπολαμβάνειν ἡμᾶς, ὅτι Θεοφίλῳ τινὶ ἔγραψε τὸ εὐαγγέλιον, ὃς εἷς τῶν πεπιστευσάντων, καὶ ζέων τῷ πνεύματι, καὶ ἀπλήστως ἔχων περὶ τὰς τοῦ Κυρίου πράξεις καὶ λόγους, ἀλλὰ καὶ πάντες ἐὰν τοιοῦτοι ὦμεν, ὡς φιλεῖσθαι ὑπὸ τοῦ Θεοῦ, θεόφιλοί ἐσμεν. Εἰ δέ τις θεόφιλος, οὗτος καὶ κράτιστος· οὐδεὶς γὰρ θεόφιλος ἀσθενής. Καὶ ὥσπερ γέγραπται ἐπὶ τοῦ λαοῦ ἐξερχομένου ἐξ Αἰγύπτου, ὅτι *οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν*, οὕτω καὶ πᾶς θεόφιλος κράτιστος ἔχων τὸ κράτος

---

**10, 1–3** Τοῦ…αὐτόν Cyril. *Comm.* 72.476,11–18 | Zac. 005-1; Pal. gr. 273, f. 1v **11, 1** Διαβεβαιοῦται…πᾶσιν Orig. *Hom.* 1.9,14–15 | Zac. 006-1; Pal. gr. 273, f. 2r **1–4** Διαβεβαιοῦται…λόγους Orig. *Scholia* 17.312,44–313,3 **2–9** Εἰκὸς…εὐαγγελίου Orig. *Hom.* 1.10,1–11,9 | Zac. 007-1; Pal. gr. 273, f. 2r **4–9** ἀλλὰ…εὐαγγελίου Orig. *Scholia* 17.313,5–10; 17.316,7–16

---

**6** τιμώντων] τιμόντων M **10, 1** δὲ] τοῦ ἐνυποστάτου καὶ ζῶντος add. Cyril. *Comm.* 72.476,11–12 | εἰπών] τοὺς ἀποστόλους add. Cyril. *Comm.* 72.476,11–12 **2** γεγονέναι] καὶ ἐσκηνωκέναι ἐν ἡμῖν add. Cyril. *Comm.* 72.476,14 | αὐτοῦ] δόξαν ὡς Μονογενοῦς παρὰ Πατρὸς add. Cyril. *Comm.* 72.476,15 **3** κατέστη] ὁρατῆς οὔσης καὶ ψηλαφητῆς καὶ ἀντιτύπου add. Cyril. *Comm.* 72.476,17 **11, 1** δέ om. Orig. *Hom.* 1.9,14 | ἄνωθεν om. Orig. *Hom.* 1.9,14 **2** ἡμᾶς] τινάς Orig. *Hom.* 1.10,1 *Scholia* 17.312,46 **2–4** ὃς…λόγους om. Orig. *Hom.* 1.10,2 **3** πεπιστευσάντων] πεπιστευκότων *Scholia* 17.313,1 | καὶ[1]] οὕτως *Scholia* 17.313,2 **4** πράξεις] τε add. Orig. *Scholia* 17.313,3 | ἀλλὰ καὶ] ὅτι ἐὰν Orig. *Scholia* 13.313,5: om. Orig. Scholia 17.313,7 | φιλεῖσθαι] ἀγαπᾶσθαι Orig. *Hom.* 1.10,4 Orig. *Scholia* 17.313,5; 17.316,7 Θεοῦ] καὶ φιλεῖσθαι add. Orig. *Scholia* 17.313,6; 17.316,8 **5** Εἰ…οὐδεὶς] οὐκ ἂν δέ τις εἴη Orig. *Scholia* 17.313,5–6; 17.316,9 **6–7** Καὶ…ἀσθενῶν] m. Orig. *Scholia* 17.313,7 **6** ἐξ] ἐκ τῆς Orig. *Hom.* 1.10,9; Orig. *Scholia* 17.316,10–11 **7** οὕτω καὶ πᾶς] οὕτως εἴποιμι ἄν, ὅτι Orig. *Hom.* 1.11,2: πᾶς γὰρ Orig. *Scholia* 17.313,7; ὅτι πᾶς Orig. *Scholia* 17.316,12 | κράτιστος] ἐστιν add. Orig. *Hom.* 1.11,3 Orig. Scholia 17.312,8; 17.316,13 | κράτος] καὶ τὴν δύναμιν τὴν Orig. *Hom.* 1.11,4 Orig. *Scholia* 17.313,8; 17.316,13

ἀπὸ τοῦ θεοῦ καὶ τοῦ λόγου, καὶ οὕτως ἐπιγνώσεταί τις, περὶ ὧν κατηχήθη λόγων τὴν ἀσφάλειαν, συνεὶς τὸν λόγον τοῦ εὐαγγελίου.

## 12. f. 235v

Τεθέανται δὲ τὸν ἀσώματον, καὶ ὁρᾷς εἰ μὴ ὑποπίπτοντα οἱ αὐτόπται πῶς; ἐπεὶ χωρὶς ἁμαρτίας σάρκα ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν τὴν ἡμὶν ὁμοούσιον; ψυχὴν ἔχουσαν νοεράν τε καὶ λογικὴν ἐκ πνεύματος ἁγίου καὶ ἑαυτῆς ἁγίας παρθένου πάντως ὁρατὴν οὖσαν καὶ ψηλαφητὴν καὶ ἀντίτυπον, καὶ Παῦλος γάρ, ἐπειδὴ *ἐφανερώθη ἐν σαρκὶ* διὰ τοῦτο αὐτὸν καὶ *ὦφθαι ἀγγέλοις*, φησίν.

## 13. f. 235v

**ἐξ ἀνεπιγράφου**. Ἐγέγραπτο ἥξειν τὸν Κύριον, ὅτε *ἐκλείποι ἄρχων ἐξ Ἰούδα*, οὗτος δὲ ὁ Ἡρώδης πρῶτος ἐξ ἐθνῶν ἐβασίλευσε. Λαμβάνει οὖν πρῶτον τὸν χρόνον, ἵνα μὴ διαφύγῃ τῶν πραγμάτων ὁ καιρός, καί φησι, βασιλέως τῆς Ἰουδαίας.

## 14. ff. 235v–236r

Ἐπειδὴ γὰρ παρὰ Ἰουδαίοις ἐδίδασκεν, συνήθως τοῖς προφήταις τοῦ βασιλέως τῶν Ἰουδαίων φέρει τὸν χρόνον, καὶ οὕτως στηρίζει τῆς παρουσίας τοῦ Ἰησοῦ τὴν γνῶσιν. Τὸν πατέρα δὲ τοῦ προδρόμου εἰσάγει, ἵνα ἀπὸ τοῦ προδρόμου ἄρξηται τῆς Εὐαγγελικῆς ἱστορίας, καὶ οὕτως εἰς τὸν Ἰησοῦν παραγένηται. Ἔδει γὰρ προαποσταλῆναι τὸν κήρυκα τοῦ δεσπότου, ἵνα ἀπὸ τοῦ προετοιμαστοῦ τὸ μέγεθος ἐκείνου δειχθῆ·(236r) διὸ καὶ τὴν γέννησιν αὐτοῦ πρώτην ἐγηξεῖται, θαυματούργημα οὖσαν Θεοῦ, ὅπερ καὶ αὐτὸ πρόφασιν πίστεως εἶχεν ἀγαθήν.

---

**12, 1–5** Τεθέανται…φησίν editionem non inveni | Zac. 005-3; Vat. Pal. gr. f. 2r **13, 1–3** Ἐγέγραπτο…Ἰουδαίας fontem non inveni **2–3** Λαμβάνει…Ἰουδαίας Cramer 2.7,8–9; Zac. 008-1; Vat. Pal. gr. 273, f. 2r **14, 1–7** Ἐπειδὴ…ἀγαθήν editionem non inveni | Cramer 2.7,10–12; 14–18; Zac. 008-1; 009–1; Vat. Pal. gr. 273, f. 2

---

**8** τις] εἰς τὴν Orig. *Scholia* 17.313,10 **9** τὴν om. Orig. *Scholia* 17.313,10 | συνεὶς…εὐαγγελίου] Orig. *Hom.* 1.11,7 Orig. *Scholia* 17.316,15: om. Orig. *Scholia* 17.313,10

**15. f. 236r**

**Βίκτορος πρε(σβυτέρου)**. Τὸν ἀβιὰν δὲ ὄγδοον ἡ τῶν παραλειπομένων ἔταξεν βίβλος ἐφημερίας, ὀνομάσασα οὐ τὸ πρὸς ἡμέραν παραμένειν καὶ λειτουργεῖν ἐν τῷ ναῷ, ἀλλὰ τὸ πρὸς ἑβδομάδα.

**16. f. 236r**

**ἐξ ἀνεπιγράφου**. Εἰπὼν δὲ *ἐκ τῶν θυγατέρων Ἀαρών*, ἑκατέρωθεν ἔδειξεν ὅτι νομίμως ἐτύγχανεν ἱερεύς· ἐκ τὲ τοῦ πατρώου καὶ μητρώου γένους Ἀαρωνἰτης γὰρ ἦν.

**17. f. 236r**

**Ὠρ(ιγένης)**. *Ἦσαν δὲ δίκαιοι*, φησίν, *ἀμφότεροι*. Οἱ θέλοντες συναγορεύειν ἑαυτῶν ταῖς ἁμαρτίαις οἴονται ἀδύνατον εἶναι πάντῃ ἀναμάρτητον εἶναί τινα, καὶ χρῶνται τὰ τοῦ Ἰώβ· *οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου*. Τὸ δὲ ἀναμάρτητον δισσῶς νοεῖται· τὸ μὲν ἐν τῷ μηδέποτε ἡμαρτηκέναι, τὸ δὲ ἐν τῷ μηκέτι ἁμαρτάνειν.

**18. f. 236r**

Ἐκ μὲν οὖν τοῦ μηδέποτε ἁμαρτῆσαι οὐδεὶς ἂν εἴη ἀναμάρτητος· πάντες γὰρ ἄνθρωποί ποτε ἥμαρτον, καὶ ὕστερον *δίκαιοι* γένωνται.

**19. f. 236r**

Δυνατὸν δὲ ἐκ τοῦ μηκέτι ἁμαρτάνειν χρηματίσαι ἀναμάρτητον· οὕτω γὰρ καὶ ὁ Χριστὸς *παρέστησεν ἑαυτῷ τὴν ἐκκλησίαν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα*, οὐχ ὅτι οὐδέποτε ἐσπίλωται ὁ ἐκκλησιαστικὸς ἢ γέγονεν ἐν ῥυτίδι τοῦ *παλαιοῦ ἀνθρώπου*, ἀλλὰ ὅτι οὐκ ἔχει ἔτι *ῥυτίδα*.

---

**15, 1–3** Τὸν … ἑβδομάδα editionem non inveni | Zac. 010-1; Vat. Pal. gr. 273, f. 2r
**16, 1–3** Εἰπὼν … ἦν fontem non invevi | Cramer 2.7,24–25; Zac. 011-1; Vat. Pal. gr. 273, f. 2r
**17, 1–4** Ἦσαν … ἁμαρτάνειν Orig. *Hom.* 2.12,1–21 **18, 1–2** Ἐκ … γένωνται Orig. *Hom.* 2.12,21–25 **19, 1–4** Δυνατὸν … ῥυτίδα Orig. *Hom.* 2.13,1–11

## 20. f. 236r

Παράδειγμα δὲ τοῦ δύνασθαι ἄνθρωπον παρὰ τὸ μηκέτι ἁμαρτάνειν χρηματίζειν ἀναμάρτητον τὰ κατὰ τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ. *Ἦσαν*, γάρ φησι, *δίκαιοι καὶ πορευόμενοι ἄμεμπτοι.*

## 21. f. 236r

Ἐδύνατο δὲ γεγράφθαι τό· *Ἦσαν δίκαιοι ἐν ταῖς ἐντολαῖς*, νῦν δὲ ἡ προσθήκη ἀναγκαία τοῦ *ἐνώπιον τοῦ θεοῦ*. Ὅταν γὰρ ἄνθρωπος μηδὲν ἔχει φαῦλον λέγειν περὶ ἐμοῦ, ἀλλὰ τὰ βλεπόμενά μου κατανοῶν ἐπαινεῖ, δίκαιός εἰμι *ἐνώπιον* ἀνθρώπων. Οὐκ οἴδασι δὲ οἱ ἄνθρωποι τὸ κρυπτόν μου, πότε ἥμαρτον ἐμβλέψας γυναῖκα εἰς τὸ ἐπιθυμῆσαι, ὥστε λογισθῆναί μοι τὴν ἐν καρδίᾳ μοιχείαν. Τὸ οὖν εἶναι *δίκαιον ἐνώπιον τοῦ θεοῦ* ἔπαινός ἐστι τέλειος· ὅτι ὡς πρὸς αὐτὸν τὸν ἔπαινον τοῦ θεοῦ ἔπαινός ἐστιν ὥστε αὐτὸν τὸν θεὸν ἀποδοῦναι τὸν ἔπαινον τῷ ἐπαινέτῳ, τοιοῦτο καὶ τὸ παρὰ τῷ ἀποστόλῳ οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ θεοῦ, οἱ γὰρ ἄνθρωποι οὐκ οἴδασι κατ ἀξίαν ἐπαινεῖν πρὸς τὸ φαινόμενον μόνον ὁρῶντες, μόνος δὲ ὁ θεὸς οἶδεν ἀξίως καὶ τὸν ἐπαινετὸν ἐπαινέσαι, καὶ τοῦ ψεκτοῦ τὴν κρίσιν ἀξίως ποιῆσαι.

## 22. f. 236r

Ἀναγκαίως πρόσκειται τό· *ἦσαν δίκαιοι ἐνώπιον τοῦ θεοῦ*. Πρὸς ὃ προσκαλεῖται καὶ ὁ Σολομῶν· *προνοοῦ καλά*, λέγων, *ἐνώπιον κυρίου καὶ ἀνθρώπων*. Ἴδωμεν δὲ τῶν μακαρίων τούτων τὸν ἔπαινον· *πορευόμενοι ἐν ταῖς ἐντολαῖς*, φησί, *καὶ δικαιώμασι τοῦ κυρίου*. Ὅτα[ν] μὲν κρίνωμεν περὶ τῶν ἑτέρων καλῶς, *δικαιώμασι κυρίου* πορευόμεθα, ὅταν δὲ ποιῶμεν τάδε ἢ τάδε, *ἐντολαῖς* θεοῦ πορευόμεθ[α]. Μήποτε οὖν ταύτην τὴν διαφορὰν ἐπιστάμενος ὁ Λουκᾶς, ὡς κατ᾽ αὐτὰ τούτου[ς] βιοῦντας, τὸν ἔπαινον τοῦτον ἀπέδωκεν. Καλῶς δὲ πρόσκειται τὸ ἀμέμπτως· ἔτι γάρ πορεύεσθαι *ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασιν*, μὴ *ἀμέμπτως* δέ. Εἰ γὰρ μὴ ἦν τοῦτο, οὐκ ἂν

---

**20, 1–3** Παράδειγμα…ἄμεμπτοι Παράδειγμα…ἄμεμπτοι Orig. *Hom.* 2.13,24–29 **21, 1–2** Ἐδύνατο…θεοῦ Orig. *Hom.* 2.14,8–11 **2–5** Ὅταν…μοιχείαν Orig. *Hom.* 2.14,18–15,13 **5–11** Τὸ…ποιῆσαι Zac. 012-1; Vat. Pal. gr. 273, f. 2r **22, 1–7** Ἀναγκαίως…ἀπέδωκεν Orig. *Hom.* 2.16,1–16 **7–8** Καλῶς…δέ] Orig. *Hom.* 2.16,24–26 **8–9** Εἰ…διώξεις Orig. *Hom.* 2.17, 8–,10

---

**22, 3** δικαιώμασι] ἐν δικαιώμασι Orig. *Hom.* 2.16,10 **5** ἐντολαῖς] ἐν ἐντολαῖς Orig. *Hom.* 2.16,12 **7** Καλῶς…γάρ om. Orig. *Hom.* 2.16,24 **8** ἐν] πάσαις add. Orig. *Hom.* 2.16,25 | μὴ[1]] οὐκ Orig. *Hom.* 2.16,26 | γὰρ om. Orig. *Hom.* 2.17,8

ἐλέγε[το·] *δικαίως τὸ δίκαιον διώξεις*. Ἐπ' ἂν οὖν ποιῶμεν τὰς ἐντολάς, ὥστε ἐν τῷ συνειδότι ῥύπον κενοδο[ξί]ας ἢ τινὸς ἄλλου ἔχειν, κἂν δοκῶμεν ποιεῖν τὴν ἐντολήν, οὐκ *ἀμέμπτως* ποιοῦμεν. Ἔργον οὖν ἐστιν πορεύεσθαι *ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεπτον* κατ' ἔπαινον ἀποδοθησόμενον ὑπὸ τοῦ θεοῦ ἐν τῷ θείῳ δικ[α]στηρίῳ.

**23. ff. 236r–236v**

Διὰ μὲν οὖν νό[μου καὶ] δικαιοσύνης οὐκ ἀπέφυ[γον] οὗτοι κατάραν ἐπιθέντος τοῦ νόμου τοῖς ἀτέκνοις, διὰ δὲ Χριστοῦ τεκνογόνος ἡ στεῖρα καὶ μήτηρ ἡ πρε(236v)σβύτις, καὶ ἔτικτεν ὑπὲρ [δὲ] γεγηρα[κότι τῷ ἀν]δρί, [προ]οδοποι[οῦν] γὰρ τὴν πίστην τοῦ τεχθ[ῆναι] μέλλοντος ἐκ παρθένου· ἡ γὰρ παράδοξος γένεσις τοῦ κυρίου παράδοξον πρὸ ἑαυτῆς κατεσκεύασε γέννησιν, ἐπὶ μὲν γὰρ τῆς στεῖρας, ἐπίρρωσις φύσεως ἀσθενούσης, ἐπὶ δὲ τῆς παρθένου φύσεως ἐπεισαγωγὴ καινῆς οὐ πρότερον οὔσης· ἅτε γὰρ ὁ ἐπιδημῶν αὐτὸς ἑαυτῷ καὶ τὴν εἴσοδον καινουργήσας, καινῶς ἅμα καὶ κατὰ τὸ σύνηθες ἐπεδήμει· καινῶς μὲν ὅτι ἐκ παρθένου, κατὰ τὸ σύνηθες δὲ ὅτι ἐκ γυναικός.

**24. f. 236v**

**Ὠρ(ιγένους)**. Τὰ αἰσθητά, ἵνα βλέπηται, οὐδὲν ἐνεργεῖ, ἀλλ' ὁ ὑγιὴς ὀφθαλμὸς ταθείς, εἴτε βούλεται τὸ αἰσθητὸν βλέπεσθαι εἴτε μή, βλέπει αὐτό. Οὐ τοιαῦτα δὲ τὰ θεῖα, οὐδ' ἐν τῷ παρόντι ὁρώμενα χωρὶς τῆς ἑαυτῶν ἐνεργείας. Καὶ γοῦν χάριτι θεὸς *ὤφθη* τῷ Ἀβραὰμ ἤ τινι τῶν ἁγίων, οὐ τοῦ ὀφθαλμοῦ τῆς ψυχῆς τοῦ Ἀβραὰμ μόνου αἰτίου γενομένου τοῦ βλέπεσθαι αὐτῷ τὸν θεόν, ἀλλὰ τοῦ θεοῦ παρασχόντος ἑαυτὸν εἰς ἐμφανισμὸν τῷ δικαίῳ, ἀξίῳ γενομένῳ τῆς ὀπτασίας αὐτοῦ. Ἀλλὰ γὰρ καὶ ἄγγελος, ὅσον οὐ βούλεται βλέπεσθαί τινι ἡμῶν, παρὼν οὐ βλέπεται. Καὶ μὴ θαυμάσῃς ἐπὶ τοῦ παρόντος, εἰ ὁ θεὸς θέλων *ὤφθη* τῷ Ἀβραάμ, μὴ θέλων δὲ οὐκ *ὤφθη* τῷ δεῖνι.

---

**9–13** Ἐπ'…δικαστηρίῳ Orig. *Hom.* 2.17,15–18,11 **23, 1–9** Διὰ…γυναικός editionem non inveni | Zac. 014-1; Vat. Pal. gr. 273, ff. 2r–2v **24, 1–9** Τὰ…δεῖνι Orig. *Hom.* 3.19,4–20,19

---

**9** διώξεις] διώξῃ Orig. *Hom.* 2.17,10 **10** κενοδοξίας add. ἀνθρωπαρεσκείας ἢ ἑτέρου Orig. *Hom.* 2.17,17–18 **12** ἄμεπτον] ἀμέμπτως Orig. *Hom.* 2.18,9

**25. f. 236v**

Καὶ *ἄγγελος ὤφθη* τῷ Ζαχαρίᾳ, καὶ μὴ θέλων οὐκ ἂν *ὤφθη* αὐτῷ. Ἀλλὰ καὶ μετὰ τὸν *ἐνεστῶτα αἰῶνα*, ἐὰν ἐξέλθωμεν, ἴσθι, ὅτι οὐ παντὶ φαίνεται ὁ θεὸς ἢ οἱ ἄγγελοι, ἀλλ' ἕκαστος τῶν βλεπόντων τῷ καθαρὰν ἔχειν καρδίαν καὶ παρεσκευάσθαι πρὸς τὸ βλέπειν τὸν θεὸν ὄψεται τὸν θεόν. Κἂν ὦσιν ἐν τῷ αὐτῷ τόπῳ δύο, ὁ μὲν καθαρὰν ἔχων καρδίαν, ὁ δὲ ἐβδελυγμένην· ὁ μὲν ὄψεται, ἐπεὶ οὐκ ἐν τόπῳ βλέπεται ὁ θεός, ἀλλὰ καθαρᾷ καρδίᾳ, ὁ δὲ οὐκ ὄψεται αὐτόν. Οὕτω νοητέον καὶ ἐπὶ τοῦ Χριστοῦ. Μὴ γὰρ οἴου, ὅτι πάντες οἱ βλέποντες Χριστὸν ἔβλεπον. Ἔβλεπον Χριστοῦ σῶμα, Χριστὸν δέ, καθ' ὃ Χριστός ἐστιν, οὐκ ἔβλεπον. Ἐβλέπετο δὲ ὑπὸ μόνων τῶν ἀξίων βλέπειν τὸ μέγεθος αὐτοῦ.

**26. f.236v**

Ἐπηγγείλατο δὲ καὶ ἡ γραφή· *ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτόν*. ἐκ δεξιῶν δὲ ἐστὼς τοῦ θυσιαστηρίου ὤφθη ὁ ἄγγελος ἐπεὶ αἴσια αὐτῷ ἔμελεν προαγγέλειν.

**27. f. 236v**

*Ἐταράχθη*, δέ φησιν, *Ζαχαρίας*· ξενίζουσα γὰρ ὄψις ἀνθρώπῳ φαινομένη οὐκ ἔστιν αὐτῷ ὑπομονητή· ὅμως ἐπιστρέφει αὐτὸν ἀπὸ τῆς ταραχῆς εἰπών· *μὴ φοβοῦ*, καὶ ἀνακτᾶται αὐτὸν διὰ τοῦ εὐαγγελίζεσθαι τὴν γένεσιν Ἰωάννου λέγων· *ἠκούσθη ἡ δέησίς σου*.

**28. ff. 236v–237r**

Ποία δὲ ἀκολουθία; τὸν ὑπὲρ ἁμαρτημάτων δεόμενον τοῦ λαοῦ, ἀκοῦσαι· *μὴ φοβοῦ· ἠκούσθη ἡ δέησίς σου*, καὶ τοῦ ἀκουσθῆναι ἀπόδειξιν λαβεῖν τεχθήσεσθαι (237r)

---

**25, 1–9** Καὶ … αὐτοῦ Orig. *Hom.* 3.20,19–21,20 **2–3** ἴσθι … καρδίαν Zac. 015-1; Pal. gr. 273, f. 2v **26, 1–3** Ἐπηγγείλατο … προαγγέλειν Orig. *Hom.* 3.22,6–9 **27, 1–4** Ἐταράχθη … σου Orig. *Hom.* 4.23,5–13 | Zac. 016-1; Pal. gr. 273, f. 2v **28, 1–5** Ποία … υἱόν *De incomp.* 2,93–101 | Zac. 017-1; Vat. Pal. 273, f. 2v

---

**25, 4** Κἂν ὦσιν] Καὶ ἐν Orig. *Hom.* 3.21,4 **26, 2** αὐτόν] αὐτῷ Orig. *Hom.* 3.22,9 **2–3** ἐκ … προαγγέλειν om. Orig. *Hom.* 3.22,9 **27, 1** Ζαχαρίας] ἰδών add. Orig. *Hom.* 4.23,6 **2** ταραχῆς] ὁ ἄγγελος add. Orig. *Hom.* 4.23,9 | φοβοῦ] Ζαχαρία add. Orig. *Hom.* 4.23,10 **28, 2** λαβεῖν] ποιεῖται τὸ Chrysost. *De incomp.* 2.96

αὐτῷ παῖδα τὸν Ἰωάννην, εἰκότως. Ἐπειδὴ γὰρ ὑπὲρ τῶν ἁμαρτημάτων τοῦ λαοῦ παρεκάλει, ἔμελλε δὲ τίκτειν υἱὸν βοῶντα· *ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἤκουσεν τοῦ τέξῃ υἱόν*.

**29. f. 237r**

*Καὶ πολλοί*, φησίν, *ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται*. Εἰ γὰρ καὶ μὴ πάντες Ἰουδαῖοι, ἀλλὰ *πολλοὶ* ἐχάρησαν ἐπὶ τῇ παρουσίᾳ τοῦ προδρόμου διαγγέλλοντος ἐπιδημεῖν τὸν σωτῆρα. Τὸ δὲ εἰπεῖν· *ἔσται μέγας* μέγεθος ἐμφαίνει τῆς Ἰωάννου ψυχῆς, βλεπόμενον ὑπὸ τοῦ θεοῦ. Ἔστι γάρ τι μέγεθος καὶ ψυχῆς κατ' ἀρετήν, καὶ ἔστι τις σμικρότης ψυχῆς. Οὕτως ἀκουστέον ἐν τῷ εὐαγγελίῳ· *μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων*, τῶν ἐν τῇ ἐκκλησίᾳ. *Μικρὸν* γὰρ ἐκεῖ τὸν ἐναντίον τῷ μεγάλῳ λέγει, οὐ χρείαν ἔχων ἐντολῆς περὶ τοῦ μεγάλου, ἵνα καὶ τοῦτο εἴπῃ· οὐδὲ γὰρ καταφρονεῖται ὁ μέγας. Ὅτι δὲ *ὁ μικρὸς* ὁ τυχών ἐστι, δῆλον ἐκ τοῦ· *ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων*. Ὁ γὰρ μέγας κρείττων σκανδάλου ἐστίν.

**30. f. 237r**

Οὐ πᾶς δὲ *μέγας* εὐδόκιμος, ἀλλ' ὁ *ἐνώπιον κυρίου*, τοῦτ' ἔστιν ὁ δίκαιος. Ὁ μὲν οὖν λαὸς οὐκ οἶδεν τὸν σωτῆρα ἤδη ποιοῦντα *σημεῖα*, ὁ δὲ Ἰωάννης ἔτι ἐν κοιλίᾳ ὢν σκιρτᾷ, ἡνίκα ἐλθούσης τῆς μητρὸς Ἰησοῦ. Πνεῦμα οὖν ἅγιον εἶχεν ἔτι ὢν ἐν τῇ

---

**29, 1–3** Καὶ … σωτῆρα Orig. fr. 13b,1–3; Orig. *Scholia* 17.317,26–29 **3–9** Τὸ … ἐστίν Orig. *Hom.* 4.24,9–25,11 | Zac. 018-1; Vat. Pal. gr. 273, f. 2v **30, 1** Οὐ … δίκαιος Orig. fr. 14b **1–3** Ὁ … Ἰησοῦ Orig. *Hom.* 4.25,20–26,3 **1–4** Ὁ … κοιλίᾳ Zac. 019-1; Pal. gr. 273, f. 2v **3–4** Πνεῦμα … ἐπιστρέψαι Orig. *Hom.* 4.26,7–15

---

**3** αὐτῷ παῖδα] παῖδα αὐτῷ Chrysost. *De incomp.* 2.97 | Ἰωάννην] καὶ μάλα add. Chrysost. *De incomp.* 2.97 | ἁμαρτημάτων] ἁμαρτιῶν Chrysost. *De incomp.* 2.98 **5** ἤκουσεν] εἰκότως φησίν· ἠκούσθη ἡ δέησίς σου καὶ Chrysost. *De incomp.* 2.100–101 **29, 1** Καὶ πολλοί φησίν] εἶτά φησιν Orig. fr. 13b,1 *Scholia* 17.317,26 **2** ἐπὶ τῇ παρουσίᾳ] τὴν τοῦ σωτῆρος ἐπιδημίαν Orig. fr. 13b,3 *Scholia* 17.317,29 **3** ψυχῆς] καὶ μέγεθος add. Orig. *Hom.* 4.24,11 **4** καὶ[1] om. Orig. *Hom.* 4.24,12 | ἀρετήν] ὅ ἐστιν ὁρώμενον κυρίῳ add. Orig. *Hom.* 4.24,13–14 **5** Οὕτως ἀκουστέον] Ἐγὼ οὕτως ἀκούω τοῦ Orig. *Hom.* 4.24,15 **6** τῷ μεγάλῳ] τοῦ μεγάλου Orig. *Hom.* 4.24,19 **8** μικρὸς] οὐχ add. Orig. *Hom.* 4.25,7 **9** Ὁ … ἐστίν] Μέγας γὰρ οὐ σκανδαλίζεται· ἀλλ' ὁ μέγας παντὸς σκανδάλου κρείττων ἐστίν Orig. *Hom* 4.25,9–11 **30, 2** σημεῖα] καὶ τέρατα add. Orig. *Hom.* 4.25,21–22 | ἐν κοιλίᾳ] ἐν τῇ κοιλίᾳ τῆς Orig. *Hom.* 4.26,1 **3** ἐλθούσης … Ἰησοῦ] ἦλθεν ἡ μήτηρ Ἰησοῦ Orig. *Hom.* 4.26,3

κοιλίᾳ. Αὐτὸς μὲν οὖν *πολλοὺς* λέγεται *ἐπιστρέψαι*. Ὁ δὲ κύριός μου πάντας. Τοῦτο γὰρ ἔργον αὐτοῦ ⟨ἐστίν⟩.

## 31. f. 237r

Τὸ δέ· *ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα*· μετῆλθε δὲ τὰ αὐτὰ καὶ πρὸς Ἰωάννην, ἀλλὰ μὴν ἡ ἀκολουθία τῆς φύσεως βούλεται καρδίας τέκνων ἀκολουθεῖν μᾶλλον πατράσιν, οὐ πατέρας δουλεύειν υἱοῖς· ἀλλ' ἐπεὶ βούλεται τῷ νέῳ λαῷ δεῖν τὸν ἀρχαῖον ἀκολουθεῖν, ὃς ἐν χώρᾳ ἦν πατέρων, ὁ δὲ δεύτερος καὶ νέος ἐν χώρᾳ υἱῶν, *ἀντὶ* γὰρ *τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σοι*, ἀντιστρέφει τὴν ἀκολουθίαν.

## 32. f. 237r

Καὶ γὰρ ἀποκαθιστᾷ τὴν συναγωγὴν ὑπὸ τὴν ἐκκλησίαν, ἑρμηνεύων δέ, τίνες οἱ πατέρες, τίνες δὲ τὰ τέκνα, ἐπιφέρει· *καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων*· δεῖ γὰρ τοὺς παλαιοὺς παρὰ Ἰουδαίοις τῇ φρονήσει τῶν δικαίων ἀκολουθῆσαι.

## 33. f. 237r

**Σευήρου ἀπὸ λόγου ιζʹ**. Ἐκείνῳ δὲ προσεκτέον πῶς εἰπὼν ὁ ἄγγελος, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει, συνῆψε καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ, ὥστε Κύριος καὶ Θεὸς Ἰσραὴλ ὑπῆρχεν ὁ Χριστός, οὗ προέδραμεν Ἰωάννης, ἐπιστρέφων καρδίας πατέρων ἐπὶ τέκνα, εἰ γὰρ καὶ πατέρες ἦσαν Ἰουδαῖοι, Ἰωάννου τὲ καὶ τῶν ἀποστόλων. Ἐξ ἐκείνων γὰρ οὗτοι κατήγοντο κατὰ τὴν τοῦ αἵματος συγγένειαν, καὶ κατὰ τὰ πάτρια διδάγματα νόμου καὶ προφητῶν, ἀλλ' ὅμως πατέρες ὄντες πρὸς τὸ

---

4 Ὁ…πάντας Orig. *Hom.* 4.26,18–19 **4–5** Τοῦτο…αὐτοῦ Orig. *Hom.* 4.27,4 **31, 1–6** Τὸ… ἀκολουθίαν Orig. fr. 15,1–6 **32, 1–3** Καὶ…ἀκολουθῆσαι Orig. fr. 15,6–9 **33, 1–9** Ἐκείνῳ… φρόνησιν Severus 408 **1–13** Ἐκείνῳ…ἐκβαλοῦσιν Zac. 020-1; Vat. Pal. gr. 273, f. 2v

---

**4** κοιλίᾳ] τῆς μητρὸς ὢν ὁ Ἰωάννης add. Orig. *Hom.* 4.26,13 | μου] ἡμῶν Ἰησοῦς Χριστὸς Orig. *Hom.* 4.26,19 **5** ἔργον αὐτοῦ] αὐτοῦ τὸ ἔργον Orig. *Hom.* 4.27,4 | ἐστίν add. Orig. *Hom.* 4.27,4 **31, 2** μὴν] ὡς add. Orig. fr. 15,2 **33, 1** δὲ] μέν τοι Severus 408 | εἰπὼν] εἶπεν Severus 408 | καὶ] ὅτι Severus 408 **2** ἐπιστρέψει] πρὸς κύριον τὸν θεὸν αὐτῶν· εἶτα, add. Severus 408 **3** προέδραμεν] ὁ add. Severus 408 | ἐπιστρέφων] Τί δέ ἐστι τὸ ἐπιστρέφειν Severus 408 **4** τέκνα] κατὰ τὸν Ἠλίαν add. Severus 408 **4–5** εἰ…ἀποστόλων] καὶ αὖθις ἴδωμεν· οἱ Ἰουδαίοι, καὶ Ἰωάννου καὶ τῶν ἀποστόλων πατέρες ὑπῆρχον Severus 408 **5–6** Ἐξ…προφητῶν om. Severus 408 **6** πατέρες ὄντες om. Severus 408

εὐαγγέλιον ἐκ βασκανίας ἐτύφλωττον μὴ ἐπιγινώσκοντες τὸν προφητευθέντα Χριστόν, τούτους οὖν οἷα τέκνα φιλόστοργα Ἰωάννης καὶ οἱ ἀπόστολοι μὴ βλέποντας ἐχειραγώγουν πρὸς τὴν ἀλήθειαν, καὶ τὴν ἑαυτῶν δικαιοσύνην καὶ φρόνησιν, καὶ τοῦτο ἔστιν τὸ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ὃ δηλῶν καὶ ὁ κύριος βλασφημοῦντων εἰς αὐτῶν τῶν Ἰουδαίων καὶ λεγόντων οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ, ἔλεγεν· *εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβαλοῦσιν*;

## 34. ff. 237r–237v

Διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται ὑμῶν. Ἐπέστρεψε δὲ πρὸς Κύριον Ἰωάννης ἐκείνους τοὺς πρὸς οὓς ἔλεγεν ἴδε ὁ ἀμνὸς τοῦ, καὶ ἐγὼ ἑώρακα ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ ὡς δὲ ἀξιωθεὶς. Τοῦ αὐτοῦ πνεύματος τῷ Ἡλίᾳ ὁ Ἰωάννης προελεύσεται λέγεται ἐν πνεύματι Ἡλίᾳ. Καὶ γὰρ ο[ὗτ]ος προτρέχων τῆς δευτέρας παρουσίας, τοὺς ἐναπομείναντας Ἰουδαίους τῇ πατρίῳ πλάνῃ, καὶ τὸ τῶν π[ατέρων] πρόσωπον ἐπέχειν κο(237v)μπάζοντα[ς], ἐπιστρέψει πρὸς τὸ τῶν ἀποστόλων καὶ Ἰωάννου καὶ πάντων τῶν ἐν τάξει τέκνων λελογισμένων ἀλήθειαν, ἵνα τὸ κατάλειμμα σωθῇ τοῦ Ἰσραήλ, ᾗ φησιν ὁ ἀπόστολος.

## 35. f. 237

Οὐ μόνον ἕως πρόδρομος τῆς πρώτης παρουσίας καθὼς ὁ Θεσβίτης τῆς δευτέρας, λέγεται *ἐν δυνάμει Ἡλίου* ὁ Ἰωάννης, ἀλλὰ καὶ ὡς ἀσκητὴς καὶ παρθένος καὶ ὡς ἐν ἐρήμοις τὰ πολλὰ διάγων καὶ ὡς ἐλέγχων ἁμαρτάνοντας βασιλεῖς τε καὶ ἰδιώτας.

---

**34, 1–4** Διὰ … Ἡλίᾳ fontem non inveni **1–8** Διὰ … ἀπόστολος Zac. 020-1; Vat. Pal. gr. 273, f. 2v **4–8** Καὶ … ἀπόστολος Severus 408–409 **35, 1** Οὐ … δευτέρας Orig. fr. 17a **2–3** λέγεται … ἰδιώτας Orig. fr. 17b

---

7 ἐκ βασκανίας] ἐκ τύφου καὶ βασκανίας καὶ ἀπιστίας Severus 408 **7–8** μὴ … Χριστόν om. Severus 408 **8** τούτους … ἀπόστολοι] καθάπερ οὖν υἱοὶ φιλόστοργοι, ὁ Ἰωάννης καὶ οἱ ἀπόστολοι μετ᾽αὐτόν Severus 408 **8–9** βλέποντας] τοὺς Ἰουδαίους add. Severus 408 **9** πρὸς τὴν ἀλήθειαν] καὶ τὸ ἀληθὲς ὑπεδείκνυον Severus 408 **9–13** καὶ … ἐκβαλοῦσιν om. Severus 408 **34, 4** Καὶ γὰρ οὗτος] οὕτω καὶ Ἡλίας ἡνίκα ἂν ἔλθῃ Severus 408–409 δευτέρας] Χριστοῦ add. Severus 409 **5** τὸ] τὴν Severus 409 | τῶν om. Severus 409 **6–7** καὶ[1] … τῶν om. Severus 409 **7–8** σωθῇ τοῦ Ἰσραήλ] τοῦ Ἰσραήλ σωθῇ Severus 409 **8** ᾗ om. Severus 409 **35, 1** Οὐ μόνον] Λέγεται δυνάμει Ἡλίας ὁ Ἰωάννης καὶ Orig. fr. 17a **2** καὶ[2]] ὡς add. Orig. fr. 17b **3** ὡς] πεπαρρησιασμένως add. Orig. fr. 17b | ἐλέγχων] τοὺς add. Orig. fr. 17b

*Δυνάμει*, οὖν ἐκλήθη, *Ἡλίας*· οὐ γὰρ ἐναργεῖ πράγματι ἦν Ἡλίας, ὥς φασιν οἱ δοξάζοντες μετεμψύχωσιν, λέγοντες, ὅτι ἡ ψυχὴ Ἡλίου εἰς Ἰωάννην ἦλθεν.

**36. f. 237v**

Οὐ γὰρ *ἐν ψυχῇ*, φησίν, *Ἡλιοῦ*, οὐ γὰρ ἦν μετεμψύχωσις, ἀλλ’ *ἐν πνεύματι καὶ δυνάμει Ἡλιοῦ*. Ἦν γὰρ ἐπ’ αὐτὸν πνεῦμα καὶ δύναμις, εἴτ’ οὖν πνευματικὸν χάρισμα, ὥσπερ καὶ ἐπὶ ἕκαστον τῶν προφητῶν. Τὸ οὖν πνεῦμα, ὅπερ ἦν ἐν Ἡλίᾳ, γέγονεν ἐν Ἰωάννῃ. Ἐκεῖνος ἀνελήφθη, οὗτος δὲ πρόδρομος γέγονε τοῦ σωτῆρος.

**37. f. 237v**

Ἀλλ’ οὐδὲ τοῖς πρὸς μετεμψύχωσιν βουλομένοις τὸ ῥῆμα βιάζεσθαι χῶραν δίδωσιν ἡ ἱστορία· ἐτόλμησαν γὰρ πολλοὶ ταύτην ἐπιρρῖψαι τὴν θεωρίαν τῇ τοῦ κυρίου φωνῇ, καὶ εἰ μὲν ἦν Ἡλίας ἀποθανών, ἐδίδοτο πρὸς τοῦτο χῶρα αὐτοῖς.

**38. f. 237v**

Εἰ δὲ μετὰ σώματος ἀνελήφθη, πῶς ψυχὴ ἡ ἐνσώματος εἰς ἕτερον σῶμα μετεκομίσθη; ἀλλὰ τό· *ἐν πνεύματι*, ὡς ἀποδέδοται, ἐν τῷ προφητικῷ λέγει χαρίσματι.

**39. f. 237v**

**ἐξ ἀ(νεπιγράφου)**. Ὑπερβαίνει τὰ μέτρα τῆς ἀνθρώπινης δικαιοσύνης ἡ πίστις, πρὸς ἣν διστάσας ὁ Ζαχαρίας ἐπετιμήθη, ὅπερ ἦν συμβεβηκὼς καὶ Μωσῇ, τὰ μὲν ἄλλα δικαιωθέντι, περὶ δὲ τὴν πίστιν ἐλαττωθέντι κατὰ τὸν τελευταίον καιρόν, καὶ τοῦτο παθόντι διὰ μικροψυχίαν ἕνεκεν τῆς ἀντιλογίας τοῦ λαοῦ, καὶ ὁ Ζαχαρίας δὲ δείκνυται μὴ πιστεύσας διὰ τὸ μικρὰ φρονῆσαι καὶ μὴ ἄξια τοῦ Θεοῦ, διακριθεὶς

---

**4–5** Δυνάμει…ἦλθεν Orig. fr. 17c **36, 1–4** Οὐ…σωτῆρος Orig. *Hom.* 4.27,7–20 | Zac. 022-1; Pal. gr. 273, f. 271r **37, 1–3** Ἀλλ’…αὐτοῖς Orig. fr. 17e **38, 1–2** Εἰ…χαρίσματι Orig. fr. 17f **39, 1–8** Ὑπερβαίνει…δεδικαίωται fontem non inveni | Zac. 023-1; Vat. Pal. gr. 273, f. 271r

---

**4** Δυνάμει…Ἡλίας[1]] διὸ καὶ εἰκότως ἐκλήθη δυνάμει Ἡλίας Orig. fr. 17c | Ἡλίας[2]] ὁ Ἰωάννης add. Orig. fr. 17c **5** δοξάζοντες μετεμψύχωσιν] μετεμψύχωσιν δοξάζοντες Orig. fr. 17c **36, 1** ἐν ψυχῇ φησίν Ἡλιοῦ] ἐν ψυχῇ Ἡλίου φησίν Orig. *Hom.* 4.27,7 **2** Ἡλιοῦ] Ἡλίου Orig. *Hom.* 4.27,9 | ἐπ’ αὐτὸν] ἐπὶ τὸν Ἡλίαν Orig. *Hom.* 4.27,10 **37, 1** χῶραν] χώραν Orig. fr. 17e **3** μὲν om. Orig. fr.17e | χῶρα] χώρα Orig. fr. 17e

περὶ τὴν ἐπαγγελίαν κατανοήσας τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ὅπερ Ἀβραὰμ οὐκ ἔπαθεν τοιαύτην λαμβάνων ἐπαγγελίαν, ἀλλ’ ἐπίστευσεν ἐξῆς πίστεως, καὶ δεδικαίωται.

### 40. ff. 237v–238r

Ἔδει δὲ μὴ πρὸς τὸ γῆρας ἀπιδεῖν τὸν Ζαχαρίαν, ἀλλὰ πρὸς τὴν δύναμιν τοῦ ἐπαγγελλομένου Θεοῦ. Ἀλλὰ τὰ μεγάλα δυσέφικτα τοῖς ἀνθρώποις, διὸ καὶ συγγινώσκει Θεός· οὐδὲ (238r) γὰρ Ἀβραὰμ τὸ μέτρο τῆς πίστεως ἐπλήρωσεν ὡς ἐχρῆν, ἀλλὰ τὰ πρῶτα καὶ ἐγέλασεν εἰπών· *εἰ τῷ ἑκατονταέτει γενήσεται καὶ ἡ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται;* καὶ αὐτὴ δὲ γελάσασα ἐμέμφθη. Ποτὲ μὲν οὖν λόγῳ μόνῳ ὁ Θεὸς μέμφεται, ποτὲ δὲ καὶ ἔργῳ ἐπιτιμᾷ. Πέπονθε δὲ τοῦτο ὁ Ζαχαρίας εἰς κωφότητα καὶ ἀφωνίαν περιστάς· ὅτι δι’ αὐτῶν προτέρων ἐχρῆν αὐτὸν παιδεύεσθαι, καὶ τὴν πρὸς τοὺς πατέρας μέμψιν παίδευσιν ἰδίαν ποιήσασθαι. Οἱ γὰρ πρότεροι τοῖς δευτέροις ὁδηγία.

### 41. f. 238r

**Ὠρ(ιγένους)**. Ἡ δὲ τοῦ Ζαχαρίου σιωπή, σιωπὴ τῶν προφητῶν ἐστιν ἐν τῷ πάλαι λαῷ τοῦ θεοῦ. Οὐκέτι γὰρ θεὸς λαλεῖ αὐτοῖς, ἀλλὰ μεταβέβηκεν *ὁ ἐν ἀρχῇ λόγος, πρὸς τὸν θεόν, θεὸς λόγος*, πρὸς ἡμᾶς καὶ παρ’ ἡμῖν οὐ σιωπᾷ, ὡς παρ’ ἐκείνοις.

**40, 1–9** Ἔδει…δευτέροις Eus. 24,529.40–532,8 | Zac. 023-1; Vat. Pal. gr. 273, f. 271r
**41, 1–3** Ὠριγένους…παρ’[2] Orig. *Hom.* 5.29,9–19 | Zac. 024-1; Pal. gr. 273, f. 271r

**40, 1** ἀπιδεῖν…Ζαχαρίαν] ἀφορᾶν τὸ ἑαυτοῦ καὶ γυναικὸς Eus. 24.529,41 **2** διὸ om. Eus. 24.529,43 **3** οὐδὲ 238r] καὶ γὰρ οὐδ’ αὐτὸς Eus. 24.529,44 | τὸ…ἐπλήρωσεν om. Eus. 24.529,44 | ἐχρῆν] ἐπίστευσεν add. Eus. 24.529,44 **4** γενήσεται] υἱός add. Eus. 24.532,1 **4–5** καὶ[2]…τέξεται om. Eus. Eus. 24.532,1 **5** ἐμέμφθη] τότε add. Eus. 24.532,2 | οὖν] γὰρ Eus. 24.532,3 **6** Πέπονθε…Ζαχαρίας] Τούτου οὖν χάριν καὶ τῷ Ζαχαρίᾳ δι’ ἔργου ἐπετίμησε καὶ Eus. 24.532.3–4 **7** περιστάς] αὐτὸν περιέστησεν Eus. 24.532,5 **7–8** ὅτι…παιδεύεσθαι] ἐχρῆν γὰρ αὐτὸν διὰ τῶν προτέρων παιδεύεσθαι Eus. 24.532,5–6 **8–9** Οἱ…ὁδηγία om. Eus. 24.532,8 **41, 2** ἀρχῇ] ὁ λόγος, ὁ add. Orig. *Hom.* 5.29,13 **3** σιωπᾷ om. Orig. *Hom.* 5.29,15

**42. f. 238r**

Διὰ τοῦτο σιωπᾷ Ζαχαρίας· προφήτης γὰρ γεγονέναι λέγεται.

**43. f. 238r**

**Σευήρου**. Οὐκ ἐκπλήξει δὲ ἡ κώφευσις αὐτῷ γέγονεν. Ἐν συνηθείᾳ γὰρ ἦν θεοφανείας καὶ ἀγγελικῆς ὀπτασίας ὁ ἱερεύς, ἀλλὰ τῷ τύπῳ τῆς ἐκείνου σιγῆς, ἡ τοῦ νόμου συνέρ[χεται] σιωπή.

**44. f. 238r**

Καὶ [γὰρ] ἀπιστησάντων Ἰουδαίων πρὸς τὸν διὰ τοῦ εὐαγγελιου κηρρύσεσθαι μέλλοντα, ἔμεινεν ὁ νόμος αὐτοῖς μὲν ἄφωνος καὶ ἄπρακτος καὶ κατὰ τὰς στείρας ἄκαρπος· ἐπαύσαντο γὰρ αἱ κατὰ νομον θυσίαι, τοῖς δὲ ἐκ περιτομῆς πιστοῖς καὶ τοῖς ἔθνεσιν, οὐ μόνον οὐκ ἄφωνος, καὶ μετὰ προφητείας φθεγγόμενος. Τὸ δ᾽ ἀπὸ σιγῆς καὶ στειρώσεως καὶ γήρως τεχθῆναι τὴν φωνὴν, τοῦτο οἶμαι δηλοῦν, τὸ ἐκ τοῦ καταγηράσαντος καὶ στειρωθέντος τῇ ἀκηκοΐᾳ τῶν δεξαμένων νόμου, τὰς περὶ Χριστοῦ προρήσεις προελθεῖν.

**45. f. 238r**

**Ὠρ(ιγένους)**. Τὸ δὲ *διανεύειν* διαμένοντα κωφὸν τοιοῦτόν ἐστιν· αἱ χωρὶς λόγου πράξεις οὐδὲν διαφέρουσι νεύσεων, αἱ δὲ μετὰ λόγου πράξεις οὐκ εἰσὶν νεύσεις· κοσμοῦνται γὰρ ὑπὸ τοῦ λόγου.

---

**42, 1** Διὰ … λέγεται Orig. *Hom.* 5.29,16–18 | Zac. 024-1; Pal. gr. 273, f. 271r **43, 1–3** Οὐκ … σιωπή Isidor. Pelus. Epist. 131,3–8 | Cramer 2.10,7–10; Zac. 024-3; Pal. gr. 273, f. 271r **44, 1–4** Καὶ … φθεγγόμενος editionem non inveni | Zac. 024-2; Vat. Pal. gr. 273; f. 271r **4–7** Τὸ … προελθεῖν Isidor. Pelus. Epist. 131,8–12 | Zac. 024-3; Vat. Pal. 273; f. 271r **45, 1–3** Τὸ … λόγου Orig. *Hom.* 5.29,20–30,7 | Zac. 025-1; Pal. gr. 273, f. 271r

---

**42, 1** σιωπᾷ] ὁ προφήτης add. Orig. *Hom.* 5.29,17 | προφήτης γὰρ] καὶ γὰρ προφήτης Orig. *Hom.* 5.29,17–18 **43, 1** Οὐκ … γέγονεν] Ἡ Ζαχαρίου κώφευσις οὐκ ἐκπλήξει γέγονεν, ὡς ἐνόμισας, νουνεχέστατε Isidor. Pelus. Epist. 131,3–4 **1–2** ἦν … ὀπτασίας] θεοφανείας καὶ ἀγγελικῆς ὀπτασίας ἦν Isidor. Pelus. Epist. 131,5 **2** ἱερεύς] καθαρῶς τοῖς μυστηρίοις διακονούμενος add. Pelus. Epist. 131,6 **3** συνέρχεται] ἐδηλοῦτο Isidor. Pelus. Epist. 131,7 **44, 6** καταγηράσαντος καὶ στειρωθέντος] παλαιωθέντος, καὶ καταγηράσαντος στειρωθέντος Isidor. Pelus. Epist. 131,10 | νόμου] τοῦ γραπτοῦ add. Isidor. Pelus. Epist. 131,11

**46. f. 238r**

Ἐὰν οὖν εἰδῇς Ἰουδαίων τὴν πολιτείαν ἄλογον, ὡς μὴ δύνασθαι αὐτοὺς διδόναι λόγον, περὶ ὧν πράττουσιν, βλέπε τὸν τύπον τὸν γενόμενον ἐπὶ Ζαχαρίου διαμένοντος κωφοῦ καὶ διανεύοντος. Ἔστιν γὰρ κωφὸς νῦν ὁ λαὸς καὶ ἄλαλος· καὶ πῶς γὰρ οὐκ ἔμελλεν ἄλογος καὶ ἄλαλος εἶναι, ἐκβαλὼν τὸν [λόγον ἀ]φ’ ἑαυτοῦ καὶ μὴ δυνάμενο[ς] περὶ μηδενὸς λόγον ἀπ[ο]δοῦναι νομικοῦ ἢ προφ[η]τικοῦ λόγου. Κατὰ τοῦτο αὐτοῖς περιτομὴ χωρὶ[ς] λόγου νεύματα, καὶ Πάσχα καὶ προσευχαί.

**47. f. 238r**

Π[ρ]οακούσας ἐράσμιον ἑαυτῷ πρᾶγμα μέλλειν [ἔ]σεσθαι οὐκ ἔσπευσεν π[ρὸ] καιροῦ δραμεῖν, ἀλλ’ ἔμεινεν πληρῶσαι τὴν πνευματικὴν λειτουργίαν, διδάσκ[ων] ὅτι δεῖ πάντα δεύτερ[α] ποιεῖσθαι τῆς εἰς θεὸν τιμ[ῆς].

**48. f. 238v**

Οὐ πᾶς καιρὸς δέδοται καὶ τοῖς ἐν γάμῳ οὖσι τῆς κοινωνίας τῆς γαμικῆς, ἀλλ’ ἔστιν, ὅτε δεῖ ταύτης ἀφιστᾶν ἤδη γεγηρακότας καὶ ὑπὸ τῆς προνοίας ἀποκεκλεισμένους πρὸς τὸ συλλαμβάνειν τὰ ἔργα τοῦ γάμου.

**49. f. 238v**

Ἐπεὶ οὖν αὕτη κατ’ οἰκονομίαν διὰ τὸν τοῦ ἀγγέλου λόγον *συ*[*νέλαβεν*] [.........] ᾐσχύνετο, εἰ μὴ πρεσβῦτης μετ’ ἀνδρὸς κοιμᾶται, καὶ *ἔκρυπτεν ἑαυτὴν ἐπὶ μῆνας πέντε*, ἕως καὶ Μαρία συλλάβῃ.

---

**46, 1–3** Ἐὰν ... διανεύοντος] Orig. *Hom.* 5.30,8–13 | Zac. 025-1; Pal. gr. 273, f. 271r–271v **3–5** Ἔστιν ... λόγου] Orig. *Hom.* 5.30,21–31,13 | Zac. 025-1; Pal. gr. 273, f. 271r–271v **5–6** Κατὰ ... προσευχαί] Orig. *Hom.* 5.30,17–20 | Zac. 025-1; Pal. gr. 273, f. 271r–271v **47, 1–3** Προακούσας ... τιμῆς Orig. fr. 19,1–5; Orig. *Scholia* 17.319,54–320,3 **48, 1–3** Οὐ ... γάμου Orig. *Hom.* 6.32,14–20 **49, 1–3** Ἐπεὶ ... συλλάβῃ Orig. *Hom.* 6.32,22–33,2 **2–3** ἔκρυπτεν ... συλλάβῃ Zac. 027-1; Pal. gr. 273, f. 271v

---

**46, 1** εἰδῇς] ἴδῃς Orig. *Hom.* 5.30,8 **2** γεγενημένον Orig. *Hom.* 5.30,11–12 **47, 1** ἑαυτῷ πρᾶγμα] πρᾶγμα ὁ Ζαχαρίας ἑαυτῷ Orig. fr. 19,1: πρᾶγμα ἑαυτῷ Orig. *Scholia* 17.319,55–56 **2** δραμεῖν] πρὸς τὸ δοῦναι ὁδὸν τῇ προφητείᾳ add. Orig. fr. 19,2 | λειτουργίαν] καὶ οὕτω τῇ προφητείᾳ διὰ τῶν σαρκικῶν ἐξυπηρετήσασθαι add. Orig. fr. 19,3–4 **48, 3** συλλαμβάνειν] διὰ Orig. *Hom.* 6.32,19 **49, 2** πρεσβῦτης] πρεσβύτις οὖσα Orig. *Hom.* 6.32,24–25

## 50. f. 238v

Ὅτε γὰρ συνέλαβεν Μαρία καὶ ἦλθε πρὸς αὐτήν καὶ ἠσπάσατο, *ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ* τῆς Ἐλισάβετ, καὶ ἐκ *πνεύματος ἁγίου* ἐλάλησεν τὰ ἀναγεγραμμένα.

## 51. f. 238v

Ὧν λαληθέντων ἐν τῇ ὀρεινῇ, ὡς περὶ θείας συλλήψεως καὶ ὡς περὶ προφήτου μέλλοντος γεννᾶσθαι ἐν τῷ λαῷ, οὐκ ἔτι *ἑαυτὴν περιέκρυβεν*, ἀλλ', εἰ δεῖ οὕτως εἰπεῖν, καὶ ἐπαρρησιάσατο, ὅτι ἄρα ἅγιον γέννημα εἴη ἐν αὐτῆς ὁ πρόδρομος τοῦ κυρίου. Εἶτα μετὰ ταῦτα γέγραπται, ὅτι *τῷ μηνὶ τῷ ἕκτῳ*, τῆς συλλήψεως Ἐλισάβετ δηλαδή, *ἀπεστάλη ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ θεοῦ πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ*.

## 52. ff. 238v–239r

Τί δήποτε κρίνας ὁ θεὸς ἐκ παρθένου γεννῆσαι τὸν σωτῆρα οὐκ ἐπελέξατο παρθένον ἀμνήστευτον; Μήποτε οὖν οἰκονομία ἦν καὶ τὸ μνηστῆρα αὐτὴν ἔχουσαν συλλαβεῖν, ὡς μὴ δοκεῖν αἰσχύνην φέρειν ἐπὶ τοῦ σώματος αὐτῆς τὸ σύλλημμα; Δι' ὃ θαυμαστῶς [.....] ἐν μιᾷ [τοῦ] μάρτυρος ἐπιστολῇ, *τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἔλαθεν ἡ παρθενία Μαρίας*. Ὡς, εἰ μὴ ἐγεγόνει ὁ δοκῶν γάμος, οὐκ ἂν αὐτὸν ἔλαθεν, ἀλλ' ἔγνω *ὁ ἄρχων τοῦ αἰῶνος τούτου*, ὅτι μηδέποτε μετὰ ἀνδρὸς κοιμηθεῖσα ἡ Μαρία συνέλαβεν καὶ ὀφείλει τὸ σύλλημμα τοῦτο θεῖον εἶναι. Ἐβούλετο δὲ ὁ σωτὴρ καθ' ὅλην τὴν οἰκονομίαν λανθάνειν τὸν διάβολον, καὶ γοῦν ἐνετέλλετο τοῖς μαθηταῖς μὴ φανερὸν ποιεῖν αὐτόν. Ἀλλὰ καὶ ἡνίκα ἐπειράζετο ὑπὸ τοῦ διαβόλου, οὐδαμοῦ ἀπεφήνατο γυμνῶς, ὅτι υἱός ἐστιν τοῦ θεοῦ, ἀλλὰ μόνον ἔλεγεν· οὐ δεῖ μέ σοι προσκυνεῖν, οὐ δεῖ με τοὺς λίθους ποιεῖν ἄρτους, οὐ δεῖ με ῥίπτειν ἐμαυτὸν

---

**50, 1–3** Ὅτε ... ἀναγεγραμμένα Orig. *Hom.* 6.33,3–10 | Zac 027–1; Vat. Pal. gr. 273, 271v **51, 1–4** Ὧν ... κυρίου Zac. 027-1; Vat. Pal. gr. 271v **1–6** Ὧν ... Ἰωσήφ Orig. *Hom.* 6.33,13–34,6 **52, 1–4** Τί ... ἐπιστολῇ Orig. *Hom.* 6.34,10–23 **4–19** τὸν ... ἀποβαλεῖν Orig. *Hom.* 6.35,1–37,5

---

**50, 1** συνέλαβεν Μαρία] Μαρία συνέλαβε Orig. *Hom.* 6.33,3 | καὶ ἠσπάσατο καὶ ὅτε ἐγένετο ὁ ἀσπασμὸς αὐτῆς εἰς τὰ ὦτα αὐτῆς Orig. Hom. 6.33,4–6 **2** Ἐλισάβετ] καὶ προεφήτευσεν ἡ Ἐλισάβετ add. Orig. *Hom.* 6.33,8–9 **51, 1** Ὧν ... ὀρεινῇ] Καὶ ἐλαλήθη ἐν τῇ ὀρεινῇ πάντα τὰ ῥήματα ταῦτα. Λαληθέντων οὖν αὐτῶν Orig. *Hom.* 6.33,12–13 **3** ἅγιον om. Orig. *Hom.* 6.33,19 | ἐν om. Orig. *Hom.* 6.33,19 **52, 4** θαυμαστῶς] καλῶς Orig. *Hom.* 6.34,22 | τοῦ μάρτυρος ἐπιστολῇ] τῶν μάρτυρός τινος ἐπιστολῶν γέγραπται Orig. *Hom.* 6.34,22–23 **4–5** τὸν ... ἔλαθεν[1]] καὶ ἔλαθε τὸν ἄρχοντα τοῦ αἰῶνος Orig. *Hom.* 6.35,1

ἄνωθεν κάτω. Ἀλλὰ καὶ ὁ ἀπόστολος τὴν τοῦ πάθους οἰκονομίαν κατὰ λήθην φησὶ γεγονέναι τῆς ἀντικειμένης ἐνεργείας· λέγει γάρ· σοφίαν δὲ λαλοῦμεν, *ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν*. Εἰ δὲ τὸ δαιμόνιον οὐκ ἔλαθεν, εἶπεν γάρ· *οἴδαμέν σε, τίς εἶ, ὁ υἱὸς τοῦ θεοῦ*, ὅρα, ὅτι ὁ ἐλάττων ἐν τῇ κακίᾳ ᾔδει τὸν σωτῆρα, ὁ δὲ χείρων ἐν αὐτῇ ἀπὸ τοῦ μεγέθους [τῆς κακίας ἐνεποδίζετο] (239r) αὐτὸν θεωρεῖν. Καὶ ἡμῶν δὲ ἡ κακία, ἐὰν μὲν ἐλάττων ᾖ, βοηθούμεθα διὰ τὸ ἔλαττον πρὸς τὸ βιῶσαι καλῶς· ἐὰν δὲ κακία ἡμῖν πλείων εὑρεθῇ, πλείον ἀγὼν αὐτὴν ἀποβαλεῖν.

**53. f. 239r**

Τὸ δὲ χαῖρε κεχαριτωμένη εἴρηται οὐδαμοῦ· ἀλλ’ οὐδ’ ἀνδρί που εἴρηται τοῦτο, ταύτῃ δὲ ἐτηρεῖτο οὗτος ὁ ἀσπασμός.

**54. f. 239r**

Ἐπειδὴ γὰρ εἶπεν ὁ θεὸς τῇ Εὔᾳ· *ἐν λύπαις τέξῃ τέκνα*, αὕτη ἡ χαρὰ λύει ἐκείνην τὴν λύπην· *ὁ κύριος μετὰ σοῦ*· ἦν γὰρ μετ’ αὐτῆς ὁ μικρὸν ὕστερον ἐξ αὐτῆς.

**55. f. 239r**

**Σευήρου**. Ταῦτα δὲ εἰπῶν ἐδήλωσε τὸν ἄναρχον τοῦ θεοῦ λόγον ἀτρέπτως ἐν τῇ παρθενικῇ μήτρᾳ σκηνοῦν σαρκούμενον, κατ’ αὐτὴν γὰρ τὴν ἀκαριαίαν ῥοπὴν ἡ φωνὴ παρῆλθε τοῦ ἀγγέλου, καὶ ὁ τοῦ θεοῦ λόγος ἦν ἐν γαστρί, ἔργου γὰρ παραδόξου δήλωσιν οὐ ὑψηλὴν πρόσρησιν εἶχεν ὁ ασπασμός.

---

**53, 1–2** Τὸ…ἀσπασμός Orig. *Hom.* 6.37,13–16 | Zac. 028-1; Vat. Pal. gr. 273, 271v **54, 1–2** Ἐπειδὴ…λύπην Orig. fr. 21a **1–2** Ἐπειδὴ…αὐτῆς$^2$ Zac. 028-1; Vat. Pal. gr. 273, 271v **2** ὁ$^1$…αὐτῆς$^2$ Orig. fr. 21c **55, 1–4** Ταῦτα…ασπασμός] editionem non inveni | Zac. 028-2; Vat. Pal. 273, f. 271v

---

**13** λέγει…λαλοῦμεν om. Orig. *Hom.* 6.36,6 **19** πλείων] πλείον M: πλείων Orig. *Hom.* 6.37,5 **53, 1** δὲ om. Orig. *Hom.* 6.37,13 **2** οὗτος ὁ ἀσπασμός] ὁ ἀσπασμὸς οὗτος 6.37,15–16 **54, 1** γὰρ om. Orig. fr. 21a | τέκνα] διὰ τοῦτο λέγει ὁ ἄγγελος· Χαῖρε, κεχαριτωμένη add. Orig. fr. 21a

**56. f. 239r**

**Τοῦ Χρ(υσοστόμου)**. Οὐκ ἐννοήσασα τοῦ παρόντος τὴν φύσιν, ἀλλ' ἄνδρα γυμνὸν νομίσασα, τὸ ἀπρεπὲς οὖν ἐννοήσασα ὅτι αἰσχρὸν παρθένον παρὰ ἀγνώστου ἀνδρὸς δέχεσθαι προσηγορίαν, ἐταράχθη ὑπὲρ τῆς οἰκείας σωφροσύνης ἀ[...........] ὅτε τὴν Ἰωάννου γέννησιν εὐαγγελίζεται, οὐ τῇ Ἐλισάβετ φαίνεται, ἀλλὰ τῷ Ζαχαρίᾳ, ὅτε δὲ τὸν σωτῆρα οὐ τῷ Ἰωσὴφ ἀλλὰ τῇ Μαρίᾳ, ὅτι οὐδὲν συμβάλλεται Ἰωσὴφ τῇ οἰκονομίᾳ, πρὸς τὴν παρθένον δὲ ἔρχεται, αὕτη γὰρ ἦν καὶ ῥίζα καὶ σπέρμα τοῦ σώματος, πρὸς τὸν Ζαχαρίαν οὖν ἐπειδὴ αὐτὸς ἀρχὴ τῆς γεννήσεως.

**57. f. 239r**

Ὅπου ἐξ ἀνδρὸς τὸ γινόμενον, τὸν ἄνδρα εὐαγγελίζεται, ὅπου παρθένου τὸ βλάστημα παρορᾷ τὸν ἄνδρα καὶ ἔρχεται ἐπὶ τὴν ῥίζαν, ἐκβάλλων δὲ αὐτὴν ὑποψίας τοῦ δολερὸν αὐτὸν ἄγγελον ὑπολαμβάνειν, τὸ *μὴ φοβοῦ* εἶπεν.

**58. f. 239r**

**Ὠρ(ιγένους)**. Τὸ μὲν οὖν *εὗρες χάριν* κοινὸν ἦν· εὗρον γὰρ χάριν πρὸ αὐτῆς καὶ ἄλλοι· τὸ δὲ εἰπεῖν *συλλήψῃ* οὐκέτι κοινὸν ἦν, ἀλλ' ἰδιάζον εἰς ἐπαγγελίαν παρθενίας.

**59. f. 239r**

*Ἐπεὶ οὖν εὗρες*, φησί, *χάριν παρὰ θεῷ*, *μὴ φοβοῦ*· παντὸς γὰρ φόβου ἀφαίρεσις ἡ τοῦ σωτῆρος ἐπιδημία. Εἰ δὲ παρουσίαν σοι εὐαγγελίζομαι, Κύριε, μὴ αὐτοσχεδίως ἔσεσθαι τὸν τόκον νομίσῃς, καὶ ὡς ἀστραπῆς πάροδον τὴν σὴν γαστέρα διαδραμεῖν κατὰ τοὺς λήρους τῶν δοκητῶν· σύλληψις γὰρ ἀκόλουθος ἔ[σται], τὴν γὰρ ἀνθρώπινην γένεσιν [διο]ρθώσων ἦλθεν ὁ τοῦ θεοῦ λόγος καὶ αὐτὰς τὰς ἀ[ρ]χὰς τῆς εἰς τὸ

**56, 1–7** Οὐκ…γεννήσεως editionem non inveni **57, 1–3** Ὅπου…εἶπεν fontem non inveni **58, 1–3** Τὸ…παρθενίας Orig. fr. 22b | Scholia 17.320,21–24; Cramer 11,25–27; Zac. 030-1; Pal. gr. 273, f. 271v **59, 1–2** εὗρες…ἐπιδημία Orig. fr. 23 | *Scholia* 17.320,24–26; Zac. 030-1; Pal. gr. 273, f. 271v **2–11** Εἰ…Εὔας fontem non inveni | Zac. 030-2; Vat. Pal. gr. 273, f. 271v

**58, 2** ἄλλοι] ἄλλαι χάριν Orig. fr. 22b **2–3** παρθενίας] παρθένῳ [ξένον πρᾶγμα] Orig. fr. 22b **59, 1** Ἐπεὶ οὖν εὗρες] Εὗρες γὰρ Orig. fr. 23 | φησί om. Orig. fr. 23 | παρὰ] τῷ add. Orig. fr. 23 | θεῷ] διὸ add. Orig. fr. 23

εἶναι παρ[ό]δου, διὰ τοῦτο οὖν εἶπε [καὶ] *συλλήψῃ*, ἵνα δείξῃ τ[ὸν] Κύριον ἐξ αὐτῆς τῆς παρθ[ε]νικῆς νηδύος, καὶ ἐκ [τῆς] ἡμετέρας οὐσίας λαβόν[τα] τὴν σάρκα, καὶ εὐλογ[ή]σαντα τὴν βλάστην [τῆς] ἡμῶν γενέσεως, εἰ μὴ [γὰρ] διὰ πάντων ἦλθεν δι' [ὅ]σων ἡμεῖς χωρὶς ἁμαρτίας καὶ ανθρωπίνης σπορᾶ[ς], συλληφθεὶς κατὰ σάρ[κα] καὶ ἐνναμηνιαῖον χρόν[ον] κυοφορηθείς, οὐκ ἂν ἐξ[η]φάνισε τὴν *ἐν λύπαις τέξῃ τέκνα* κατάραν τῆς Εὔας.

## 60. f. 239r

Ὁ δὲ ἐπὶ σωτηρία τοῦ ἡμετέρου γένους ἐλθώ[ν] Ἰησοῦς ἂν κληθείη δικαίως· τὸ γὰρ Ἰησοῦς Θεοῦ ἔστι σωτηρία καὶ ἴασις εἰς τὴν Ἑλλάδα γλῶ[τ]ταν μεταβαλλόμενον.

## 61. f. 239r

Τοῦτο εἴρηται καὶ περὶ Ἰωάννου· ἀλ[λ]' ὅτε ἦλθεν ὁ ἀληθῶς *μέ[γας]*, ἐκεῖνος ἦν μικρός. *Ἐκεῖνος* γὰρ *ἦν ὁ λύχνος ὁ κα[ι]όμενος καὶ φαίνων*. Οὐχ ὡς Ἰωάννης οὖν μέγας, ἀλλ' ὡς δεσπότης τοῦ παντός, ἀληθῶς *μέγας*, τὸ δὲ μέγεθος αὐτοῦ οὐ τότε οὕτως ἐδηλοῦτο, ὅσον νῦν φαίνεται. Ὅρα γὰρ αὐτὸ διὰ τῆς διδασκαλίας *εἰς ἅπασαν τὴν γῆν ἐξεληλυθώς*.

## 62. ff. 239r–239v

Καὶ μετὰ τῶν ἐν [Βρεττανίᾳ] (239v) καὶ μετὰ τῶν ἐν Μαυριττα[νί]ᾳ καὶ μετὰ τῶν πανταχοῦ πιστευόντων καὶ κα[θ]όλου διῆκον. Ἀνάβα γὰρ [τ]ῷ λόγῳ εἰς τὸν οὐρανὸν καὶ [ἴ]δε καὶ τὰ ἐκεῖ πληροῦν[τ]α· *ὤφθη* γὰρ *ἀγγέλοις*. [Κ]ατάβα τῷ λόγῳ εἰς τὴν [ἄ]βυσσον καὶ ὡσαύτως. *Καταβὰς γὰρ αὐτός ἐ[στ]ιν καὶ ὁ ἀναβάς, ἵνα*

---

**6–7** διὰ…σάρκα Cramer 2.11,28–29 **60, 1–2** Ὁ…μεταβαλλόμενον editionem non inveni | Cramer 2.11,31–33; Zac.031–1; Vat. Pal. gr. 273, 271v **61, 1–2** Τοῦτο…φαίνων Orig. *Hom.* 6.38,11–16 **2–3** Οὐχ…παντός Orig. fr. 24,1–2 **2–5** Οὐχ…ἐξεληλυθώς Zac. 032-1; Pal. gr. 273, f. 272r **3** ἀληθῶς μέγας Orig. fr. 24,3–4 **3–4** τὸ…φαίνεται Orig. *Hom.* 6.38,19–20 **62, 1–8** Καὶ…παρών Orig. *Hom.* 6.39,7–40,10

---

**61, 2–3** Οὐχ…μέγας] Ἔσται δὲ μέγας οὐχ ὡς Ἰωάννης Orig. fr. 24,1 **3** δεσπότης] καὶ δημιουργὸς καὶ κύριος add. Orig. fr. 24,1–2 | ἀληθῶς μέγας] οὗτος γὰρ μέγας ἀληθῶς Orig. fr. 24,3–4 **4** αὐτὸ…διδασκαλίας] τὸ μέγεθος δυνάμεως αὐτοῦ· ὅτι Orig. *Hom.* 6.38,23–24 **62, 1** Μαυριττανίᾳ] Μαυριτανίᾳ M: corr. Μαυριττανίᾳ Orig. *Hom.* 6.39,8 **3** καὶ[1]] αὐτὸν Orig. *Hom.* 6.39,15 **4** ὡσαύτως] κατέβη γὰρ κἀκεῖ add. Orig. *Hom.* 6.39,18

*πληρώσῃ [τ]ὰ πάντα, ἵνα πᾶν αὐτῷ γόνυ κάμ[ψ]ῃ*. Ἴδε ταύτην τὴν [δύ]ναμιν, καὶ ὑπὲρ τὸν [κ]όσμον ὅλον· διεληλυθό[τα] γάρ φησι τοὺς οὐρανοὺς Ἰησοῦν [τ]ὸν υἱὸν τοῦ θεοῦ. Ἐὰν οὖν [τ]αῦτα εἰδῇς, ὄψει, ὅτι [ο]ὐχὶ ῥηματιόν ἐστι τό· *ἔ[σ]ται μέγας*, ἀλλ' ἔργῳ δεί[κ]νυται, ὅτι *μέγας* ἐστὶν ὁ κύριος ἡμῶν καὶ ἀπὼν καὶ πα[ρ]ών.

**63. f. 239v**

Τὸ ὑπέρβατον [οὖ]ν οὕτως· *ἀπεστάλη ὁ ἄγγελος πρὸς παρθένον ἐξ οἴκου Δαβίδ*.

**64. f. 239v**

Ὡς δὲ ἀρξαμένης τῆς ἁμαρτίας ἀπὸ γυναικὸς, ἔδει καὶ τὰ ἀγαθὰ ἀπὸ γυναικὸς ἄρξασθαι.

**65. f. 239v**

Τὸ δὲ *ἔσται* καὶ *κληθήσεται* τῇ κατὰ σάρκα πρέπον οἰκονομίᾳ, καὶ τό· *δώσει δὲ αὐτῷ κύριος* τῇ οἰκονομίᾳ ἁρμόττει. Εἰ δὲ καὶ λαμβάνειν λέγεται διὰ ταύτην *τὸν θρόνον Δαβίδ*, ἀλλ' ἔστιν ὁ αὐτὸς καὶ βασιλεὺς αἰώνιος θεοπρεπῶς. Οὐ [π]ερὶ σαρκικοῦ θρόνου [……πε]ρὶ σαρκικοῦ σπέρματος, ἀλλὰ περὶ βασιλείας θεοπρεποῦς, *βασιλεύσει γὰρ*, φησίν, *ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας*.

---

**63, 1** Τὸ…Δαβίδ Orig. fr. 20a,1–2 **64, 1–2** Ὡς…ἄρξασθαι Orig. *Hom.* 8.47,7–10; Orig. *Scholia* 17.320,14–16 **65, 1–3** Τὸ…θεοπρεπῶς Orig. fr. 25 **3–5** Οὐ…αἰώνας editionem non inveni | Zac 033–2; Pal. gr. 273, f. 272r

---

**5** πᾶν αὐτῷ γόνυ] ἐν τῷ ὀνόματι αὐτοῦ πᾶν γόνυ Orig. *Hom.* 6.39,21 | κάμψῃ] ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων add. Orig. *Hom.* 6.39,22–23 **5–6** καὶ…ὅλον] διέβη γὰρ ὅλον τὸν κόσμον Orig. *Hom.* 6.39,24–25 **7** εἰδῇς] ἴδῃς Orig. *Hom.* 6.40,6 **8** ἡμῶν] Ἰησοῦς Χριστὸς add. Orig. *Hom.* 6.40,9 **63, 1** ὑπέρβατον οὖν οὕτως] οὖν ὑπέρβατον οὕτως ἔχει Orig. fr.20a,1 **64, 1–2** Ὡς…ἄρξασθαι] Καὶ ὥσπερ ἤρξατο ἡ ἁμαρτία ἀπὸ τῆς γυναικὸς καὶ μετὰ τοῦτο ἔφθασεν ἐπὶ τὸν ἄνδρα, οὕτω καὶ τὰ ἀγαθὰ ἀπὸ τῶν γυναικῶν ἤρξατο Orig. *Hom.* 8.47,7–10 **1** δὲ] δὴ Orig. *Scholia* 17.320,14 | ἔδει] οὕτω Orig. *Scholia* 17.320,15 | γυναικὸς[2]] add. ἔδει add. Orig. *Scholia* 17.320,16

**66. f. 239v**

Οὐδενὸς δὲ τὸ βασιλεύειν αἰωνίως ἢ μόνου τοῦ Δεσπότου, τὸ οὗ δώσει τὸν θρόνον τῇ ἐν σάρκω πρέπον οἰκονομία, οὐ γὰρ τὴν ἐπουράνιον λαμβάνει βασιλείαν ἣν εἶχεν, ἀλλ᾽αὐτὴν ἀνακτάται τὴν βασιλείαν τὴν ὑπὸ τῶν δαιμόνων ἁρπασθεῖσαν ἀπὸ τοῦ οἴκου Δαυίδ. Οὔτε οὖν τῇ λέξει μάχεται, οὔτε τῷ πράγματι, κατὰ τοὺς δυσσεβεῖς, τὸ πρὸς μὲν τὸν Ἰωσήφ λεγόμενον ὅτι σώσει τὸν λαὸν αὐτοῦ κατὰ τὸν Ματθαῖον.

**67. f. 239v**

Πρὸς δὲ τὴν Μαρίαν ὅτι δώσει αὐτῷ τὸν θρόνον Δαυίδ, εἰ μὲν γάρ ἐστιν ἐναντίον τὸ βασιλεῦσαι θεοπρεπῶς, τὸ ἐξ ἁμαρτιῶν δύνασθαι σῶσαι λαούς, τῶν ἀτόπων οὐδὲν τὰ εἰκότα λέγοντι τῷ δι᾽ ἐναντίας παραχωρεῖν, εἰ δὲ πρέπει τῷ βασιλεῦσαι θεοπρεπῶς τὸ ἀπαλλάξαι πλημμελημάτων· οὐ γὰρ ἦν ἑτέρου τὰ εἰς τοὺς θείους ἀφεῖναι νόμους ἡμαρτημένα πλὴν ὅτι θεοῦ. Πῶς οὐκ ἂν συμβαῖεν ἀλλήλοις τὰ γεγραμμένα, τό τε βασιλεῦσαι φημί, καὶ τὸ ἀ[............] νόμων ὀλιγόρησαντας ἄλλωστε.

**68. f. 239v**

Σοφὸν εἶναί τι φημί, τὸ τὸν μὲν Ἰωσὴφ τὸν ἄγγελον εἰπεῖν ὅτι σώσει τὸν λαὸν αὐτοῦ, ἅτε δὴ καὶ διὰ νόμου καὶ προφητῶν τὴν ἐπηγγελμένην τῷ Ἰσραὴλ λύτρωσιν προμεμαθηκότι, τῇ δὲ παρθένῳ προσθεῖναι τι χρηστὸν καὶ ἡδύ, καὶ ὅπερ ἦν εἰκὸς ἥσειν αὐτὴν μανθάνουσαν, ὅτι τὸ ἐξ αὐτῆς τεχθησόμενον διηνεκῆ βασιλείαν στεφανωθήσεται.

**69. f. 239v**

Ἕπεται οὖν τῷ σώσει τὸν λαὸν αὐτοῦ τῷ τῆς βασιλείας αὔχημα· βεβασίλευκε γὰρ καὶ σέσωκε τὸν λαὸν αὐτοῦ, βασιλευει δε και εἰς δεῦρο και σώζει.

---

**66, 1–6** Οὐδενὸς…Ματθαῖον Οὐδενὸς…Ματθαῖον editionem non inveni | Zac 034–1; Pal. gr. 273, f. 273r **67, 1–6** Πρὸς…ἄλλωστε fontem non inveni **68, 1–5** Σοφὸν…στεφανωθήσεται fontem non inveni **69, 1–2** Ἕπεται…σώζει] fontem non inveni

## 70. ff. 239v–240r

**Σευήρου**. Τοῦτο δὲ δι᾽ οὐδὲν ἕτερον εἴρηται τῷ Γαβριήλ, ἢ ἵνα τὴν παρθένον ἀναμνήσῃ τῶν προφητῶν, καὶ μάθῃ σαφῶς, ὅτι ὁ ἐξ αὐτῆς τεχθησόμενος, οὗτός ἐστιν ὁ Χριστός, ὁ ὑπ᾽ ἐκείνων προφητευθεὶς ἐκ σπέρματος ἐλεύσεσθαι τοῦ Δαυίδ. Τὸ δὲ πῶς ἔσται τοῦτο, οὐχ ὡς ἀπίστως ἀντιλέγουσα, ἀλλ᾽ ὡς σοφὴ τὸν τρόπον ἐπιζητοῦσα τοῦ πράγματος τοῦ λεγομένου, ἐπεὶ γὰρ περὶ τόκου ἀκήκοεν, πολυπραγμονεῖ τὴν αἰτίαν, ὅθεν οὐδὲ ἐπιτιμᾶται, ἀλλὰ διδάσκεται τὸ παράδ[..............] (240r) λέγων· *κατὰ τί γνώσομαι*; σημεῖον ἐζήτει λαβεῖν, ἵνα πιστεύσῃ, καίτοι ἔχων πολλὰ καὶ παλαιὰ παραδείγματα τὴν Σάρραν, τὴν Ῥεβέκαν καὶ τὴν Ῥαχὴλ καὶ αὐτὴν τὴν Ἄνναν κατὰ δύναμιν θεοῦ τετοκυίας, ἡ δὲ παρθένος λέγει· πῶς ἔσται τοῦτο;

## 71. f. 240r

Ὡσεὶ εἶπεν· ὁ μὲν λόγος ἀξιόπιστος, ὁ δὲ ὁ τρόπος ἄπορος, δι᾽ ὃ συγγινώσκων ὁ ἄγγελος ἑρμηνεύει, *πνεῦμα ἅγιον ἐπελεύσεται*. Πῶς; οὐκ ὄψει ἐπερχόμενον, ἐνεργήσει δὲ δημιουργικῶς μὴ φαινόμενον αὐτο τε τὸ πνεῦμα καὶ ἡ τοῦ ὑψίστου δύναμις, Χριστὸς δὲ θεοῦ δύναμις.

## 72. f. 240r

Ὅρα δὲ πῶς αὐτῇ ὅλην ἐξέφηνε τὴν τριάδα, πνεῦμα ἅγιον εἰπὼν καὶ δύναμιν καὶ ὕψιστον.

---

**70, 1–3** Τοῦτο…Δαυίδ Severus 411 | Zac. 033-1; Pal. 273, f. 272r **4–9** Τὸ…τοῦτο Titus 144,1–8 | Zac 035–2; Vat. Pal. 273, f. 272r **71, 1–2** Ὡσεὶ…ἐπελεύσεται Titus 144,9–11 | Zac. 035-2; Vat. Pal. 273, f. 272r **2–4** Πῶς…δύναμις editionem non inveni | Zac. 036-1; Vat. Pal. 273, f. 272r | Cramer 2.12,29–35 **72, 1–2** Ὅρα…ὕψιστον editionem non inveni | Zac. 036-1; Vat. Pal. 273, f. 272r

---

**70, 1** δὲ om. Severus 411 **3** ὑπ᾽] ὑπὲρ Severus 411 **4** Τὸ…τοῦτο] Τάχα δὲ καλῶς ἡ Μαρλια ζητεῖ Titus 144,1 | ἀντιλέγουσα] ἢ διεξετάζουσα add. Titus 144,2 **5–6** τοῦ[2]…αἰτίαν om. Titus 144,3 **7** λέγων] ἔλεγε Titus 144,4 | σημεῖον ἐζήτει] ἐζήτει σημεῖον Titus 144,5 | ἔχων πολλὰ] πολλὰ ἔχων Titus 144,6 **8** καὶ[2] om. Titus 144,7 | καὶ αὐτὴν om. Titus 144,7 **9** κατὰ…τετοκυίας] τεκούσας κατὰ δύναμιν θεοῦ Titus 144, 7–8 **71, 1** Ὡσεὶ εἶπεν om. Titus 144,8 **1–2** δι᾽…ἐπελεύσεται] ὅθεν καὶ συγγινώσκει ὁ ἄγγελος Titus 144,10

## 73. f. 240r

Τὸ δὲ ἐπισκιάσει, ἀντὶ τοῦ περιβαλεῖ σε, ἐνδύσει σε, κύκλῳ σου ἔσται, ἅγιον δὲ καλεῖ τὸ γεννώμενον. Οὐχ ὡς ἐκ μετοχῆς τοῦτο λαμβάνοντα, ἀλλ’ ὡς ὄντα κατὰ φύσιν ἅγιον. Τῆς θεοτόκου δὲ ἐκ φυλῆς Ἰούδα καταγομένης καὶ Δαυίδ, πῶς ἔλεγεν ὁ Γαβριὴλ αυτῇ˙ *ἴδου Ἐλισάβετ, ἡ συγγενής σου*· καὶ γὰρ ἱερέως ὑπῆρχεν αὕτη τοῦ Ζαχαρίου γυνὴ τῆς Λεβιτικῆς πάντως οὖσα φυλῆς. Τοῦτο οὖν πλῆρες ἐστὶν μηστυρίου, ὅπερ ἐγὼ πιστεύω μηδὲ τὴν παρθένον ἠγνοηκέναι πνεύματος ἁγίου μετέχουσαν· διὰ τοῦτο καὶ προθύμως πρὸς τὴν Ἐλισάβετ ἠπείγετο· ἐπεὶ γὰρ ὁ Χριστὸς καὶ βασιλεὺς ἦν τῶν βασιλευόντων, ἅτε Κύριος τοῦ παντός, ὁ αὐτὸς δὲ καὶ ἀρχιερεὺς ἐχρημάτισεν, ὅτε γέγονεν ἄνθρωπος ἑαυτὸν προσενέγκων θυσίαν ὑπὲρ ἡμῶν καὶ τὴν εἰς αὐτῶν ὁμολογίαν ἡμῶν καθιερώσας· κατανοήσατε γάρ φησι τὸν ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν. Προωκονομήθη τοῦτο ἄνωθεν συναφθῆναι τὸ γένος τῆς βασιλικῆς τοῦ Ἰούδα καὶ τῆς ἱερατικῆς τῆς Λευῒ φυλῆς, ἵνα Χριστὸς ὁ βασιλεὺς καὶ ἀρχιερεὺς ἐξ ἀμφοτέρων τὸ κατὰ σάρκα κατείγηται. Γέγραπται γὰρ ἐν τῇ ἐξόδῳ, πρὶν τεθῆναι τὴν ἐντολήν, τὴν ἐξ ἑτέρας φυλῆς λαμβάνειν γυναῖκα κωλύουσαν, ὡς Ἀαρὼν ὁ πρῶτος κατὰ τὸν νόμον ἀρχιερεὺς ἔλαβεν ἐκ τῆς Ἰούδα φυλῆς τὴν Ἐλισάβετ θυγατέρα Ἀμιναδάμ, ὅς ἐκ τοῦ Ἰούδα κατήγετο, καὶ ὅρα μοι τὴν πάνσοφον οἰκονομίαν τοῦ πνεύματος οἰκονομήσαντος καὶ τὴν συγγενῆ τῆς θεοτόκου Ἐλισάβετ προσαγορεύεσθαι, [............] πρὸς ἐκείνην ἡμᾶς τὴν Ἐλισάβετ, ἀνάγουσαν ἣν Ἀαρὼν ἠγάγετο, δι’ ἧς ὑπῆρξεν ἡ συνάφεια τῶν δύο φυλῶν, διὰ τοῦ ὀνόματος οἷον νοώσαν ὡς ἐξ ἐκείνης μοι τῆς Ἐλισάβετ ἡ πρὸς τὴν παρθένον συγγένεια.

## 74. f. 240r

Καὶ ἐπεὶ εἶπεν αὐτῇ ὁ ἄγγελος· *ἰδοὺ ἡ συγγενής σου συνείληφεν*, ἐπῆλθεν αὐτῇ συγχαρῆναι, ἐπεὶ καὶ αὐτὴ παρὰ προσδοκίαν συνειλήφει. Δι’ ὃ καὶ ἐκ τοῦ τῆς Ἐλισάβετ οἷον πεισθεῖσα· *ἰδού*, φησίν, *ἡ δούλη κυρίου*, ὡσεὶ ἔλεγεν· πίναξ εἰμὶ γραφόμενος, ὃ βούλεται ὁ γραφεὺς γραφέτω.

---

**73, 1–2** Τὸ…γεννώμενον editionem non inveni | Zac 036–1; Vat. Pal. gr. 273, f. 272r **2–3** Οὐχ…ἅγιον Severus 412 | Zac 036–2 ; Vat. Pal. gr. 273, f. 272v **3–5** Τῆς…φυλῆς Τῆς...φυλῆς editionem non inveni | Zac. 038-2 Vat. Pal. gr. 273, f. 272v **5–20** Τοῦτο… συγγένεια Τοῦτο...συγγένεια editionem non inveni | Zac.038–3; Vat. Pal. 273, f. 272v **74, 1–2** Καὶ…συνειλήφει Orig. fr. 27d **2–3** Δι’…κυρίου Orig. fr. 27e **3–4** ἰδού…γραφέτω Orig. fr. 28

---

**73, 2** Οὐχ…λαμβάνοντα] οὐχ ὡς ἔνοικον ἕξοντα τὸν υἱὸν τοῦ θεοῦ, κὶ ἐκ μετοχῆς ἁγιασθησόμενον Severus 412

**75. f. 240v**

Προλαμβάνει ἐν τῷ ἀσπασμῷ τὴν Ἐλισάβετ, τὸ σέβας αὐτῇ ὡς παλαιοτέρᾳ καὶ τάξιν ἐπεχούσῃ μητρὸς ἀπονέμουσα.

**76. f. 240v**

Οἱ κρείττονες δὲ πρὸς τοὺς ἐλάττονας ἔρχονται, ἵνα αὐτοὺς εὐεργετήσωσιν. Οὕτω καὶ ὁ σωτὴρ ἦλθεν πρὸς τὸν Ἰωάννην, ἵνα τὸ βάπτισμα αὐτοῦ ἁγιάσῃ· οὕτως ἡ Μαριὰμ ἀκούσασα τοῦ ἀγγέλου τέξεσθαι τὸν σωτῆρα καὶ μεμαθηκυῖα, ὅτι ἡ συγγενὴς αὐτῆς συνέλαβεν Ἐλισάβετ, ἦλθεν πρὸς αὐτήν. Ὁ γὰρ ἐν αὐτῇ Ἰησοῦς ἤδη ἔμελλεν εὐεργετεῖν τὸν ἤδη ἐν Ἐλισάβετ Ἰωάννην.

**77. f. 240v**

Καὶ τοῦτο δῆλον ἐκ τοῦ μὴ σκιρτᾶν αὐτὸν, πρὶν ἔλθῃ Μαριὰμ καὶ τὴν Ἐλισάβετ ἀσπάσηται, ἅμα δὲ τῷ λόγῳ τῷ ἀσπασμῷ Μαρίας, ὃν ὑπέβαλεν ὁ λόγος τοῦ θεοῦ ὁ Χριστός. Τότε ἐν τῇ κοιλίᾳ σκιρτᾶν, εἰς ἔμφασιν χαρᾶς καὶ προφητείας δήλωσιν. Οἱονεὶ γὰρ ἤρξατο ἔκτοτε προφήτην αὐτὸν ποιεῖν ὁ Ἰησοῦς. Ἔδει δὲ τὴν μακαρίαν Μαρίαν μετὰ τὸν τοιοῦτον εὐαγγελισμὸν ἀναβαίνουσαν ἀναβαίνειν *ἐπὶ τὴν ὀρεινήν*, ἅτε δὲ τῇ σπουδῇ μὴ ὀκνηρὰν σπουδαίως πορευθῆναι.

---

**75, 1–2** Προλαμβάνει … ἀπονέμουσα Orig. fr. 29,2–4 **76, 1–5** Οἱ … Ἰωάννην Orig. *Hom.* 7.41,5–18 | Zac. 041-1–042–1; Vat. Pal. gr. 273, f. 272v **77, 1–3** Καὶ … Χριστός Orig. *Hom.* 7.41,19–24 **1–4** Καὶ … Ἰησοῦς Zac. 042-1 ; Vat. Pal. gr. 273, f. 272v–273r **3–6** Τότε … πορευθῆναι Orig. *Hom.* 7.42,1–13 **4–6** Ἔδει … πορευθῆναι Zac. 041-2; Vat. Pal. gr. 273, f. 272v

---

**76, 1** δὲ om. Orig. *Hom.* 7.41,5 **5** ἐν] τῇ Orig. *Hom.* 7.41,17 **77, 1** αὐτὸν] μὲν τὸν Ἰωάννην Orig. *Hom.* 7.41,20–21 **2** τῷ ἀσπασμῷ] τοῦ ἀσπασμοῦ Orig. *Hom.* 7.41,23 **3** Τότε … δήλωσιν] ἤκουσεν ὁ πρόδρομος τῇ ἐνεργείᾳ τοῦ ἁγίου πνεύματος κινούμενος τὸν ἀσπασμὸν τῆς Μαρίας καὶ ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος ἐν τῇ κοιλίᾳ Orig. *Hom.* 7.42,1–5 **4** γὰρ om. Orig. *Hom.* 7.42,6 | αὐτὸν suppl. M | μακαρίαν add. ταύτην Orig. *Hom.* 7.41,8 **5** μετὰ … εὐαγγελισμὸν] μετὰ τὴν τοῦ Γαβριὴλ πρὸς αὐτὴν ἐπιδημίαν καὶ τὸν εὐαγγελισμὸν Orig. *Hom.* 7.41,8–9 | ἀναβαίνειν] ἀναβῆναι Orig. *Hom.* 7.41,11

## 78. f. 240v

Μετὰ σπουδῆς δὲ ἐπορεύετο ἀγομένη ὑπὸ τοῦ ἁγίου πνεύματος τοῦ ἐπελθόντος αὐτῇ καὶ ὑπὸ τῆς δυνάμεως τοῦ ὑψίστου τῆς ἐπισκιασάσης αὐτήν. Οὐκοῦν ἐν τῷ ἀσπασμῷ *ἐπλήσθη* διὰ τὸν υἱὸν *πνεύματος ἁγίου ἡ Ἐλισάβετ·* οὐ γὰρ ἡ μήτηρ *ἐπλήσθη πνεύματος ἁγίου* πρῶτον, ἀλλὰ προηγουμένως πλησθέντος Ἰωάννου, δευτέρως ἡ μήτηρ, ἅτε ἔχουσα τὸν πλησθέντα *πνεύματος ἁγίου*. Ὑπῆρξε δὲ τοῦτο Ἰωάννῃ, ὅπερ οὐδενὶ τῶν προφητῶν, διὰ τὸ προτρέχειν αὐτὸν τῆς Χριστοῦ παρουσίας.

## 79. f. 240v

Πρῶτον οὖν ἐπληροῦτο *πνεύματος* σκιρτῶν εἶθ’ οὕτως τῇ μητρὶ μετεδίδου, δι’ ὃ καὶ προφητικὰ ἀνεφώνει ἡ Ἐλισάβετ. Ἡ γὰρ τεκνογονία καὶ ταύτην ἐποίει τιμίαν, ὥσπερ ἡ θεία τεκνογονία τὴν Μαρίαν καὶ τὸ σύμπαν δι’ ἐκείνην γυναικῶν γένος, ὡς λέγει καθ’ ὅλου περὶ γυναικῶν ὁ Παῦλος, ὅτι *σωθήσεται* ἡ γυνὴ *διὰ τῆς τεκνογονίας*, τοῦτ’ ἔστι γυνὴ τὸν Χριστὸν ἐτεκνογόνησεν.

## 80. ff. 240v–241r

Οὐκ ὀκνητέον δὲ εἰπεῖν, ἵνα μὴ ἐξαπατηθῇ τις ὑπὸ τῶν πιθανότησι χρωμένων καὶ διδασκόντων ψευδῶς, ὅτι ἐτόλμησέ τις εἰπεῖν κατὰ τῆς Μαρίας, ὡς ἄρα ὁ σωτὴρ αὐτὴν ἠρνήσατο, ἐπεί, φησίν, συνήφθη μετὰ τὴν ἀπότεξιν τὴν τοῦ σωτῆρος τῷ Ἰωσήφ. Εἴ ποτε οὖν τοιοῦτοι λόγοι ὑπὸ αἱρετικῶν προαχθῶσιν, οὕτως ἀποκριτέον, ὅτι *πνεύματος ἁγίου* πλησθεῖσα ἡ Ἐλισάβετ φησίν· *εὐλογημένη σὺ ἐν γυναιξίν*. Εἰ δὲ εὐλόγηται ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, πῶς ἠρνήσατο αὐτὴν ὁ σωτήρ; Ἀλλ’ οὐδὲ ἔχουσιν αὐτὴν ἀποδεῖξαι, ὅτι συνουσίᾳ ἐχρήσατο μετὰ τὴν ἀπότεξιν τοῦ σωτῆρος· οἱ γὰρ υἱοὶ Ἰωσὴφ οὐκ ἦσαν ἀπὸ τῆς Μαρίας, οὐδὲ ἔχει τις τοῦτο παραστῆσαι ἀπὸ τῆς γραφῆς. Καρπὸν δὲ *κοιλίας* εἶπεν κατὰ τὴν παρὰ τοῦ θεοῦ πρὸς τὸν Δαβὶδ

---

**78, 1–2** Μετὰ…αὐτήν Zac. 041-2; Vat. Pal. gr. 273, f. 272v **1–5** Μετὰ…ἁγίου Orig. *Hom.* 7.42,13–43,7 **5–7** Ὑπῆρξε…παρουσίας Orig. fr. 31a **79, 1–2** Πρῶτον…Ἐλισάβετ Orig. fr. 31c **1–5** Πρῶτον…ἐτεκνογόνησεν Zac. 043-2; Vat. Pal. gr. 273, f. 273r **2–5** Ἡ…ἐτεκνογόνησεν Orig. fr. 32c **80, 1–9** Οὐκ…γραφῆς Orig. *Hom.* 7.43,20–44,14 **9–10** Καρπὸν…σου[2] Orig. fr. 33a | Zac. 044-1 Vat. Pal. gr. 273, f. 273r **9–13** Καρπὸν…καρποί Cramer 2.12,5–7

---

**78, 2** αὐτήν] αὐτῇ Orig. *Hom.* 7.42,17 **6** προτρέχειν] πλησιάζειν Orig. fr. 31a **6–7** τῆς Χριστοῦ παρουσίας] τῇ Χριστοῦ παρουσίᾳ καὶ προτρέχειν αὐτῆς Orig. fr. 31a **79, 1** οὖν] δὲ τὸ βρέφος Orig. fr. 31c | σκιρτῶν εἶθ’ οὕτως] καὶ ἐσκίρτα καὶ οὕτως Orig. fr. 31c **1–2** δι’… ἀνεφώνει] καὶ ἀνεβόα προφητικὰ Orig. fr. 31c **2** Ἡ] ὄντως add. Orig. fr. 31c

ἐπαγγελίαν τὴν λέγουσαν· *ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου·* (241r) ἢ καρπὸν κοιλίας ὀνομάσασα τὸ μὴ ἐξ ἀνδρὸς εἶναι τὸ κυοφορούμενον, ἀλλ' ἐκ μόνης τῆς Μαρίας ἐκ πνεύματος ἁγίου ἐνοικήσαντος ἐν αὐτῇ· οἱ γὰρ ἐκ πατέρων τὴν σπορὰν ἔχοντες ἐκείνων εἰσὶ καρποί.

### 81. f. 241r

Τὸ δέ· *πόθεν μοι τοῦτο*; οὐκ ἀγνοοῦσα λέγει ἡ Ἐλισάβετ ἡ πνεύματος πλησθεῖσα ἁγίου, ὅτι· οὐκ οἶδα, ὅτι ἀπὸ θεοῦ γεγένηται τὸ ἐλθεῖν τὴν μητέρα *τοῦ κυρίου μου πρός με*, ἀλλὰ τό· *πόθεν μοι τοῦτο* τοιοῦτόν ἐστιν·

### 82. f. 241r

Τί μοι ἀγαθόν, φησίν, πέπρακται τηλικοῦτον, *ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθῃ πρός με*; πόθεν, ἀπὸ ποίας δικαιοσύνης ἢ πράξεων ἀγαθῶν ἐπέτυχον τούτου; *ἰδοὺ γὰρ ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου*. Τεράστιος οὖν ἡ ψυχὴ τοῦ Ἰωάννου, καὶ ἔτι ἐν τῇ μήτρᾳ τῆς μητρὸς ὑπάρχουσα καὶ μέλλουσα εἰς γένεσιν ἥκειν ἔγνω, ὃν οὐκ ἔγνω Ἰσραήλ. Οὐχ ἁπλῶς δὲ *ἐσκίρτησεν*, ἀλλ' *ἐν ἀγαλλιάσει·* ᾐσθάνθη γάρ, ὅτι κύριος ἦλθεν ἐν τῇ μητρί, ἵνα αὐτὸν προλαβὼν ἁγιάσῃ. Σύμφωνα δὲ φθέγγεται τῷ υἱῷ Ἐλισάβετ· κἀκεῖνος γὰρ ἀνάξιον ἑαυτὸν τῆς πρὸς τὸν Χριστὸν παραστάσεως ἔλεγεν, ὥσπερ κακείνη τῆς παρουσίας τῆς θεοτόκου.

### 83. f. 241r

**ἐξ ἀνεπιγρ(άφου)**. Μητέρα δὲ καλεῖ τὴν ἔτι παρθένον, φθάνουσα προφητικῷ λόγῳ τὴν ἔκβασιν. Θεία δὲ οἰκονομία τὴν Μαρίαν ἤγαγεν πρὸς τὴν Ἐλισάβετ, ἵνα ἡ μαρτυρία Ἰωάννου ἐκ μήτρας εἰς τὸν Κύριον πληρωθῇ διὰ τῆς ἰδίας μητρός.

---

**11–13** ἢ…καρποί Orig. fr. 33b,1–5 | Zac. 044-2; Vat. Pal. gr. 273, f. 273r **81, 1–3** Τὸ…ἐστιν Orig. *Hom.* 7.44,19–25 **82, 1–6** Τί…ἁγιάσῃ Orig. *Hom.* 7.44,25–45,13 **6–8** Σύμφωνα… θεοτόκου Orig. fr. 34 | Zac. 045-1; Vat. Pal. gr. 273, f. 273r **83, 1–2** Μητέρα…ἔκβασιν Orig. fr. 35a **1–3** Μητέρα…μητρός Orig. fr. 35b | Zac. 045-2; Vat. Pal. gr. 273r

---

**80, 11** ἢ…ὀνομάσασα] καλῶς δὲ καρπὸν κοιλίας τὸ κύημα τῆς παρθένου ἡ Ἐλισάβετ ὠνόμασε Orig. fr. 33b,1 **12** ἐκ[1] om. Orig. fr. 33b,3 | αὐτῇ] καὶ τῆς τοῦ ὑψίστου δυνάμεως ἐπισκιασάσης αὐτῇ add. Orig. fr. 33b.3–4 **82, 1** Τί…τηλικοῦτον] τί γάρ μοι, φησίν, τηλικοῦτον πέπρακται ἀγαθόν Orig. *Hom.* 7.44,25–26 **3** οὖν] ἦν Orig. *Hom.* 7.45,6 **7** υἱῷ] ἡ add. Orig. fr. 34 **8** ὥσπερ κακείνη] οὕτως καὶ αὐτὴ ἀναξίαν ἑαυτὴν Orig. fr. 34 **83, 1** δὲ om. Orig. fr. 35a **2** δὲ] μὲν οὖν Orig. fr. 35b | ἵνα] καὶ add. orig. fr. 35b

**84. f. 241r**

Καὶ ἡ Μαρία δὲ τὴν πρὸς τὴν Ἐλισάβετ μετὰ σπουδῆς ἐποιεῖτο πορείαν, ὥστε ὄψεσθαι αὐτὴν καὶ διὰ τοῦ ἐν αὐτῇ παραδόξου κυήματος, καὶ ὁ κατ᾽ αὐτὴν μείζον πιστευθῇ τοκετός, καὶ συντρέχει πρὸς τὴν πίστιν ταύτην ὁ λόγος τῆς Ἐλισάβετ λεγούσης· *μακαρία ἡ πιστεύσασα·* βεβαιοτέρα γὰρ πρὸς τὴν πίστιν ταύτην ἐκ τούτων ἐγίνετο τῶν ῥημάτων ἡ παρθένος μακαριζομένη, ὅτι ἐπίστευσεν ἀγγέλου τε προφητεύοντος καὶ τῆς συγγενίδος τὰ παραπλήσια.

**85. f. 241r**

**ἐξ ἀνεπιγράφου**. Ὥσπερ δὲ σπεύδοντι τῷ Βαπτιστῇ κηρύξαι τὸν Λυτρωτήν, προφήτης γὰρ ἡγιάσθη, καὶ πρὸ τοῦ ἐξενθεῖν ἐκ μήτρας ἔχρησεν ἡ μήτηρ αὐτῷ τὸ τοῦ στόματος ὄργανον, ταῦτα εἰπεῖν, ἐπειδὴ οὐκ ἔδωκε λαλεῖν τοῖς ἐμβρύοις τὸ ἄωρον.

**86. f. 241r**

**Ὠρ(ιγένους)**. Πρὸ Ἰωάννου Ἐλισάβετ προφητεύει, πρὸ τῆς γενέσεως τοῦ σωτῆρος ἡμῶν ἡ Μαρία προφητεύει. Καὶ ὥσπερ ἤρξατο ἡ ἁμαρτία *ἀπὸ τῆς γυναικὸς* καὶ μετὰ τοῦτο ἔφθασεν ἐπὶ τὸν ἄνδρα, οὕτω καὶ τὰ ἀγαθὰ ἀπὸ τῶν γυναικῶν ἤρξατο, ἵνα προτραπῶσιν γυναῖκες, ἀποθέμεναι τὴν ἀσθένειαν, ζηλῶσαι τὸν βίον τῶν πασῶν μακαρίων γυναικῶν τούτων.

---

**84, 1–4** Καὶ…πιστεύσασα Orig. fr. 36a **3–4** καὶ…πιστεύσασα Zac. 045-2 ; Vat. Pal. gr. 273, f. 273r **4–6** βεβαιοτέρα…παραπλήσια Orig. fr. 36b **85, 1–3** Ὥσπερ…ἄωρον Orig. *Scholia* 17.320,36–39 | Isidor. Pelus. Epist. 363,9–12; Zac. 045-3; Vat. Pal. gr. 273, 273 **86, 1–5** Πρὸ… τούτων Orig. *Hom.* 8.47,4–14 **2–5** Καὶ…τούτων Zac. 046-2; Vat. Pal.gr.273, f. 273v

---

**84, 1–4** Καὶ…πιστεύσασα] Εἶχε δὲ καὶ ἡ πορεία τῆς παρθένου τὴν οἰκείαν αὐτῆς σπουδήν· ἦλθε γὰρ ὀψομένη τὴν Ἐλισάβετ καὶ τὸ ἐν αὐτῇ παράδοξον κύημα καὶ ἰδεῖν καὶ πιστεύσασθαι, κατὰ τὴν τοῦ ἀγγέλου φωνήν, ἵνα διὰ τούτου ὁ κατ᾽ αὐτὴν μείζων πιστευθῇ τοκετός, ὁ ἐξ αὐτῆς, φημί, τῆς παρθένου· καὶ συντρέχει πρὸς τὴν πίστιν ταύτην ὁ λόγος τῆς Ἐλισάβετ λεγούσης· καὶ μακαρία ἡ πιστεύσασα Orig. fr. 36a **6** προφητεύοντος] προσημαίνοντος Orig. fr. 36b | παραπλήσια] προφητευούσης add. Orig. fr. 36a **85, 1–3** Ὥσπερ…ἄωρον] Ἐπειδὴ δὲ οὐκ ἔδωκε λαλεῖν τοῖς ἐμβρύοις διὰ τὸ ἄωρον, σπεύδοντι τῷ Βαπτιστῇ κηρύξαι τὸν Λυτρωτὴν, ἔχρησεν ἡ μήτηρ τοῦ σώματος ὄργανον Orig. *Scholia* 17.320,36–39; Ἐπεὶ [δὲ] οὐκ ἔδωκε λαλεῖν τοῖς ἐμβρύοις τὸ ἄωρον, σπεύδοντι τῷ Βαπτιστῇ κηρύξαι τὸν Λυτρωτήν, ἔχρησεν ἡ μήτηρ τὸ τοῦ στόματος ὄργανον Isidor. Pelus. Epist. 363,9–12 **86, 4** προτραπῶσιν] αἱ add. Orig. *Hom.* 8.47,11 | ἀποθέμεναι τὴν ἀσθένειαν] τὴν ἀσθένειαν καὶ τὰ γυναικεῖα ἀποθέμεναι Orig. *Hom.* 8.47,11–12 | τὸν βίον] τοὺς βίους Orig. *Hom.* 8.47,13 **4–5** τῶν…τούτων τοὺς βίους τῶν μακαρίων τούτων Orig. Hom. 8.47,13–14

## 87. ff. 241r–241v

Ἴδωμεν (241v) τὴν προφητείαν τὴν παρθενικήν, ἥ φησιν· *μεγαλύνει ἡ ψυχή μου τὸν κύριον*. Πῶς *ἡ ψυχὴ μεγαλύνει τὸν κύριον*, κατανοητέον. Ἐρεῖ γάρ τις· ὁ κύριος οὔτε μείζων γίνεται οὔτε ἐλάττων, ἀλλ’ ὅ ἐστιν, ἐστίν· πῶς οὖν δύναται ψυχὴ μεγαλύναι τὸν κύριον; Ὅτι *εἰκών ἐστιν τοῦ θεοῦ τοῦ ἀοράτου*, οὐ γενομένη εἰκών, ἀλλὰ *κατ’ εἰκόνα* προϋπάρχουσαν αὐτῆς. [Ἕκ]αστος δὲ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν τελειῶν καὶ προάγων ἐπὶ μακαριότητα οἷον εἰκόνα τοῦ Χριστοῦ [ἀ]νατίθησιν, ἤτοι μιμουμένην τὸν πρωτότυπον, τὸν υἱὸν τοῦ θεοῦ, τὴν εἰκόνα τοῦ θεοῦ. Ὅταν οὖν μεγάλην ποιήσω τὴν εἰκόνα τῆς εἰκόνος, λέγω δὲ αὐτὴν τὴν ψυχήν, μεγαλύνων λόγοις, ἔργοις, νοήμασιν, τότε μεγαλύνειν λέγεται. [Ὥ]σπερ δὲ *μεγαλύνει ἡ ψυχὴ* τοῦ δικαίου *τὸν κύριον* κατὰ τὸ μέγεθος τοῦ βίου καὶ τοῦ λόγου, οὕτω καὶ σμικρύνει τις αὐτὸν ἀναλόγως κατὰ τὴν ἐνυπάρχουσαν αὐτῷ κακίαν. Τῆς οὖν Μαρίας *ἡ ψυχὴ* πρῶτον ἐμεγάλυνεν *τὸν κύριον*, εἶτα *τὸ πνεῦμα* αὐτῆς *ἠγαλλιάσατο*. Κα[λ]ῶς δὲ ἀναβαίνει ταῖς προκοπαῖς τῶν ἔργων· πρῶτον ἐμεγάλυνεν ἡ ψυχὴ αὐτῆς, εἶτα ἠγαλλιάσατο τὸ πνεῦμα αὐτῆς.

## 88. f. 241v

*Ὅτι ἐπέβλεψε*, φησίν, *ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ*. Ἡ *ταπείνωσις* οὐδὲν διαφέρει τῆς ἀτυφίας· ἐπεὶ οὖν πρέπον θεῷ ἐπιβλέπειν ἐπὶ ταῖς ἀρεταῖς, ἀρετὴ δὲ ἡ ταπεινοφροσύνη, *ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ*.

## 89. f. 241v

**ἐξ ἀνεπιγράφου**. Ἢ τὸ ἐπέβλεψεν ἄν τι τοῦ τίς εἰμι ἐγώ, φησί, πρὸς τοσοῦτον ἔργον; αὐτὸς *ἐπέβλεψεν*, οὐκ ἐγὼ προσεδόκησα· ταπεινὴ γὰρ ἤμην, καὶ νῦν ἀπὸ γῆς εἰς οὐρανὸν μεταβαίνω καὶ εἰς ἄρρητον οἰκονομίαν ἕλκομαι.

---

**87, 1–5** Ἴδωμεν … αὐτῆς] Orig. *Hom.* 8.47,16–48,11 **1–14** Ἴδωμεν … αὐτῆς] Zac. 046-2; Vat. Pal. gr. 273, f. 273v **5–14** Ἕκαστος … αὐτῆς Orig. *Hom.* 8.48,23–50,7 **88, 1–3** Ὅτι … αὐτοῦ Orig. *Hom.* 8.51,1–7 **89, 1–3** Ἢ … ἕλκομαι Orig. fr. 40,3–5 **1–3** τίς … ἕλκομαι Zac. 048-1 Vat. Pal. 273, f. 273v

---

**87, 1** Ἴδωμεν] λοιπὸν add. Orig. *Hom.* 8.47,16 **2** κύριον[1]] οὐ μόνον τὸ σῶμα, ἀλλὰ καὶ ἡ ψυχή μου add. Orig. *Hom.* 8.47,18–19 **11** ἐνυπάρχουσαν αὐτῷ κακίαν] κακίαν τὴν ἐνυπάρχουσαν αὐτῷ Orig. *Hom.* 8.49,11–12 **12** πρῶτον om. Orig. *Hom.* 8.50,1 | εἶτα τὸ] τὸ δὲ Orig. *Hom.* 8.50,2 **14** ἠγαλλιάσατο] ἐπὶ τῷ θεῷ τῷ σωτῆρι add. Orig. *Hom.* 8.50,3–4 **89, 1** Ἢ … ἐγώ] τίς γάρ εἰμι ἐγὼ Orig. fr. 40,3 | φησί om. Orig. fr. 40,3 **2** ἤμην] καὶ ἀπερριμμένη add. Orig. fr. 40,4

**90. f. 241v**

*Μακαριοῦσί με*, φησί, *πᾶσαι αἱ γενεαί·* δηλονότι αἱ τῶν πιστευόντων, οὐ σὺ μόνη ἡ Ἐλισάβετ. Οὐκ ἀπὸ γλώττης δὲ λέγει, ὅτι μακαρισθήσεται, ἀλλὰ τοῦ ἁγίου πνεύματος ἐπελθόντος αὐτῆς, προέλαβεν οὖν ἡ προφητεία, ἠλήθευσε δὲ ἡ ἔκβασις τοῦ λόγου.

**91. f. 241v**

Ποῖα γὰρ γενεᾶ ἐξ ἐκείνου τὴν Μαρίαν οὐ μακαρίζει, ἐποίησέ μοι φησὶ μεγαλεῖα, πῶς γὰρ οὐ μεγαλεῖα, ὅτι παρθένος οὖσα συλλαμβάνει ὑπερβάσα τὴν φύσιν καὶ καταξιουμένη ἄνευ ἀνδρὸς οὐχ ἁπλῶς εἶναι μήτηρ, ἀλλὰ καὶ τοῦ μονογενοῦς υἱοῦ.

**92. f. 241v**

Λέγει δέ· *ὁ δυνατός*, ἵν' ἐάν τις ἀπιστήσῃ τὴν ἐνέργειαν τῆς συλλήψεως· εἰ γε παρθένος οὖσα συλλάβοι, καὶ τὸ κατόρθωμα ἀναπέμψῃ τῇ δυνάμει τοῦ ἐνεργοῦντος.

---

**90, 1–2** Μακαριοῦσί…Ἐλισάβετ Orig. fr. 41a | Zac. 049-1; Vat. Pal 273, f. 273v; Cramer 2.14, 33–34 **2–4** Οὐκ…λόγου fontem non inveni **91, 1** Ποῖα…μακαρίζει] Antipater, *Hom.* in s. Deiparae annuntiationem 20,243–244 **1–3** ἐποίησέ…υἱοῦ Titus, 145,1–4; Antipater, *Hom.* in s. Deiparae annuntiationem 21,248–252 | Zac. 050-1; Vat. Pal. 272, f. 273v; Cramer 2.14,34–15,2 **92, 1–2** Λέγει…συλλάβοι Orig. fr. 42,1–2 **1–2** Λέγει…ἐνεργοῦντος Titus 145 | Zac. 050-1; Vat. Pal. gr. 273, f. 273v **2** καὶ…ἐνεργοῦντος Orig. fr. 42,3

---

**91, 1** Μαρίαν] Μαριὰμ Antipater, *Hom.* in s. Deiparae annuntiationem 20,244 | ἐποίησέ… μεγαλεῖα] Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός Antipater, *Hom.* in s. Deiparae annuntiation 21,248 **2** συλλαμβάνει] συλλαμβάνω Titus 145 | ὑπερβάσα] βουλήματι θεοῦ add. Titus 145 **3** καὶ om. Titus 145 | υἱοῦ] σωτῆρος Titus 145 **92, 1** Λέγει…δυνατός] Ἐπειδήπερ Orig. fr. 42,1 | ἵν'…ἀπιστήσῃ] ἀπιστήσειεν ἄν τις Orig. fr. 42,1 **2** καὶ…ἐνεργοῦντος] ἵνα τις τῇ δυνάμει τοῦ ἐνεργοῦντος ἀναπέμψῃ τὸ κατόρθωμα Orig. fr. 42,3: τῇ δυνάμει τοῦ ἐνεργοῦντος ἀναπέμψῃ τὸ κατόρθωμα Titus 145

## 93. f. 241v

Καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Οὐχ ἐπειδὴ ἔρχεται φησὶν ὁ μονογενὴς εἰς γυναῖκα, ἤδη παρὰ τοῦτο μιαίνεται, οὐδὲν παραχραίνεται ὁ ἐν ἐμοὶ τῇ παρθένῳ πλάττων τὸ ἴδιον σῶμα, διὰ τοῦτο καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐπέρχεται, ἵνα ἁγία γενομένη ἡ σύλληψις, ἅγιον παρασκευάσῃ καὶ τὸν τόκον. Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεᾶς γενεῶν.

## 94. f. 241v

Ἐπὶ γὰρ τῷ ἐλεῆσαι *τὰς γενεὰς τῶν γενεῶν* καγὼ φησὶ συλλαμβάνω. Καὶ αὐτὸς ἑνοῦται σώματι ἐψυχωμένῳ ψυχῇ λογικῇ καὶ νοερᾷ καθ’ ὑπόστασιν. Τοῖς φοβουμένοις δὲ εἰπὼν ἔδειξεν, ὅτι οὐχ οἱ πάντη ἀνάξιοι ἐλεοῦνται, ἀλλ’ οἱ διὰ μετανοίας πρὸς φόβον μετατρεπόμενοι.

## 95. ff. 241v–242r

Ἐν *βραχιόνι αὐτοῦ* φησιν, αἰνίττεται βραχίονα τοῦ δυνατοῦ, αὐτὸν τὸν ἐξ αὐτοῦ φύντα Λόγον τῆς αὐτοῦ φησὶ χειρὸς οὐκ ἀνθρώπου τὸ ἔργον, ὑπερηφάνους δὲ ἢ τοὺς πονηροὺς καὶ ἀκαθάρτους δαίμονας, καὶ τὸν τούτων ἄρχοντα τὸν διάβολον πεσόντα δι’ ἔπαρσιν, ἢ τοὺς τῶν Ἑλ(242r)λήνων λέγει σοφοὺς τὴν δοκοῦσαν τοῦ κηρύγματος μωρίαν μὴ προσδεξαμένους, καὶ αὐτὸν δὲ τὸν τῶν Ἰουδαίων δῆμον πιστεῦσαι μὴ βουληθέντα, καὶ διὰ τοῦτο τὸ ἐσκορπίσθαι παθόντα.

---

**93, 1–4** Καὶ…γενεῶν] Titus 145–146; Antipater, *Hom.* in s. Deiparae annuntiationem 21,260–22,267 **1–4** Οὐχ…γενεῶν Zac. 051-1; Vat. Pal. gr. 273, f. 273v **94, 1–2** Ἐπὶ…ὑπόστασιν Zac. 052-1; Vat. Pal. 273, f. 273v; Cramer 2.15,7–8 **1–4** Ἐπὶ…μετατρεπόμενοι editionem non inveni **2–4** Τοῖς…μετατρεπόμενοι Zac. 053-1; Vat. Pal. 273, f. 273v Cramer 2.15,9–11 **95, 1–6** Ἐν…παθόντα Cyril, *Comm.* 72.477,36–46 **2** αὐτοῦ…ἔργον Zac. 054-1; Vat. Pal. gr. 273v **2–6** ὑπερηφάνους…παθόντα Zac. 055-1; Vat. Pal. gr. 273, f. 273v

---

**93, 1** Καὶ…αὐτοῦ om. Titus 145–146 | Οὐχ ἐπειδὴ] Οὐ μὴν Titus 145–146 | φησὶν om. Titus 145–146 **2** οὐδὲν παραχραίνεται] ἅγιον γὰρ τὸ ὄνομα αὐτοῦ καὶ οὐ χραίνεται ὁ συλλαμβανόμενος σωτὴρ Titis 145–146 | ὁ om. Titus 145–146 **3** ἁγία γενομένη] γενομένη ἁγία Titus 145–146 **4** τόκον] γενέσθαι Titus 145–146 | Καὶ…γενεῶν om. Titus 145–146 **95, 1** βραχίονα τοῦ δυνατοῦ] ὁ βραχίων Cyril, *Comm.* 72.477,39 | αὐτὸν om. Cyril, *Comm.* 72.477,39 | ἐξ αὐτοῦ] ἐξ αὐτῆς Cyril, *Comm.* 72.477,40 **2** τῆς…ἔργον om. Cyril, *Comm.* 72.477,40 | ἢ] λέγει Cyril, *Comm.* 72.477,40 **3** καὶ ἀκαθάρτους om. Cyril, *Comm.* 72.477,41 **3–4** καὶ[2]…πεσόντα] μετὰ τοῦ ἄρχοντος αὐτῶν πεσόντας Cyril, *Comm.* 72.477,41–42 **4** ἢ τοὺς τῶν] καὶ τοὺς Cyril, *Comm.* 72.477,42 | λέγει om. Cyril 72.477,42 **5** αὐτὸν…δῆμον] Ἰουδαίους Cyril, *Comm.* 72.477,44 **6** βουληθέντα] βουληθέντας Cyril, *Comm.* 72.477,44 καὶ…παθόντα] οἵτινες διεσκορπίσθησαν Cyril, *Comm.* 72.477,44–45

**96. f. 242r**

Ταῦτα γὰρ πάντα ἠκολούθησε τῇ προφητείᾳ, καὶ τὸ *καθεῖλε δὲ δυνάστας* ἐπ᾽αὐτοὺς τούτους ἐκληπτέον, καὶ γὰρ μεγάλα ἐφρόνουν αὐτοί τε οἱ σκορπισθέντες δαίμονες καὶ ὁ διάβολος, καὶ Ἑλλήνων οἱ σοφοὶ καὶ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς· τὰς πρωτοκαθεδρίας διώκοντες και τῷ δοκεῖν ὄντες δυνάσται, ἀλλ᾽ αὐτοὺς μὲν κάθεῖλεν, ὕψωσε δὲ ταπεινούς, τοὺς ταπεινώσαντας ἑαυτοὺς ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα.

**97. f. 242r**

Πεινῶντας δὲ τὸ κοινὸν τῶν ἀνθρώπων γένος λέγει, καλῶς δέ φησι πεινῶντας, ἐλίμωττον γὰρ πλὴν τῶν Ἰουδαίων· αὐτοὺς δὲ πλουτοῦντας τῆς τε νομοθεσίας καὶ τῇ τῶν προφητῶν διδαχῇ καὶ ταῖς ἐπαγγελίαις· οἵτινες ὑπερμαζήσαντες, καὶ λίαν τῷ ἀξιώματι ἐπαρθέντες, διὰ τὸ μὴ ταπεινῶς προσελθεῖν τῷ ἐνανθρωπήσαντι, ἐξαπεστάλησαν κενοί, μηδὲν ἐπιφερόμενοι, μήτε πίστιν, μήτε γνῶσιν, μήτε ἐλπίδα ἀγαθὴν· ἀλλ᾽ ἐκπεπτώκασι καὶ τῆς ἐπιγείου Ἱερουσαλὴμ, καὶ τῆς μελλούσης ζωῆς.

---

**96, 1–2** Ταῦτα…ἐκληπτέον Cyril, *Comm.* 72.477,53–54 **2–5** καὶ…χεῖρα Cyril, *Comm.* 72.480,1–4 | Zac. 056-1; Vat. pal. gr. 273, f. 173v **97, 1–6** Πεινῶντας…ζωῆς Cyril, *Comm.* 72.480,14–24 **2** ἐλίμωττον…Ἰουδαίων Zac. 057-1; Vat. Pal. gr. 273, f. 273v **2–6** αὐτοὺς…ζωῆς Zac. 058-1; Vat. Pal. gr. 273, f. 273v

---

**96, 1** καὶ τὸ om. Cyril, *Comm.* 72.477,53 | δὲ om. Cyril, *Comm.* 72.477,54 **1–2** ἐπ᾽αὐτοὺς… ἐκληπτέον om. Cyril, *Comm.* 72.477,54 **2** καὶ γὰρ om. Cyril, *Comm* 72.480,1 | αὐτοί τε om. Cyril, *Comm.* 72.480,1 | δαίμονες] δαίμονές τα Cyril, *Comm.* 72.480,2 **3** καὶ Ἑλλήνων] Ἑλλήνων τὲ Cyril, *Comm.* 72.480,2 | οἱ$^2$ om. Cyril 72.480,2 **3–4** τὰς…δυνάσται om. Cyril, *Comm.* 72.480,2 **4** αὐτοὺς μὲν] τούτους Cyril, *Comm.* 72,480,3 | κάθεῖλεν] καὶ add. Cyril, *Comm.* 72.480,3 **5** δὲ ταπεινούς om. Cyril, *Comm.* 72.480,3 **97, 1** δὲ…γένος] μὲν τὸ γένος τῶν ἀνθρώπων Cyril, *Comm.* 72.480,14–15 | καλῶς…πεινῶντας om. Cyril, *Comm.* 72.480,15 **2** ἐλίμωττον] ἐλίμοττον M: ἐλίμωττον corr. Cyril, *Comm.* 72.480,15 | Ἰουδαίων] μόνων add. Cyril, *Comm.* 72.480,16 **2–3** αὐτοὺς…ἐπαγγελίαις] οὗτοι δὲ ἐπλούτουν τῇ νομοθεσίᾳ, τῇ διδασκαλίᾳ τῶν ἁγίων προφητῶν· αὐτῶν γὰρ νομοθεσία ἡ υἱοθεσία, ἡ λατρεία, αἱ ἐπαγγελίαι Cyril, *Comm.* 72.480,16–18 **3** οἵτινες] ἀλλ᾽ οὗτοι μὲν Cyril, *Comm.* 72.480,19

## 98. f. 242r

Τὸ δὲ εἰπεῖν *ἀντελαβέτο Ἰσραήλ*, τὸν ἀληθινὸν φησὶν Ἰσραήλ, τοὺς τὴν πίστιν διατετηρηκότας τῆς προσηγορίας, οὐ τοὺς ὀνόματι μόνον σεμνυνομένους. Ἰσραὴλ γὰρ πᾶς ὁ νουνεχῶς ὁρῶν καὶ ἀκούων τὰ περὶ θεοῦ, δι᾽ ὅ φησιν ὁ Παῦλος.

## 99. f. 242r

Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, τὸ δὲ *καθὼς ἐλάλησεν* τέλειοῖ τὴν προφητείαν, οὐ μόνον τὴν ἰδίαν, ἀλλὰ καὶ τῶν προτέρων προφητῶν κατὰ τὴν ἐπαγγελίαν τοῦ θεοῦ, μέλοντος ἐξ αὐτῆς γεννᾶσθαι τοῦ κοινοῦ σωτῆρος.

## 100. f. 242r

*Ἔμεινεν*; ἴσως καὶ τοῦ παραδόξου θεωρῆσαι τὴν ἔκβασιν καὶ ἐπὶ τοῖς καθ᾽ ἑαυτὴν βουλευομένη τί γενέσθαι δεήσει· μῆνας δὲ τρεῖς μείνασα *ὑπέστρεψεν*, ὡς ἐγῷμαι *πληρωθέντος τοῦ χρόνου τοῦ τεκεῖν* τὴν Ἐλισάβετ· εἰ γὰρ *τῷ ἐκτῷ μηνὶ* αὐτῆς *ἀπεστάλη ὁ Γαβριὴλ πρὸς* τὴν *παρθένον*, ἐκείνη δὲ δραμοῦσα *εἰς τὴν ὀρεινὴν* πρὸς τὴν συγγενίδα τρεῖς μῆνας παρ᾽αὐτῆς *ἔμεινεν* καὶ ὑπέστρεψεν, τοῦτο οἶμαι τὸν λόγον δηλοῦν, ἔθος δὲ καὶ τὰς παρθένους ὑποχωρεῖν τίκτειν μελλουσῶν τῶν ἐγκύων.

---

**98, 1–2** Τὸ…σεμνυνομένους Cyril, *Comm.* 72.480,39–42 | Zac. 059-1; Vat. Pal.gr. 273, f. 273v
**99, 1–3** τέλειοῖ…σωτῆρος Cyril, *Comm.* 72.480,51–53 | Zac. 060-1; Vat. Pal. gr. 273, f. 273v
**100, 1–2** Ἔμεινεν…δεήσει Orig. fr. 47a **1–2** καὶ[1]…βουλευομένη Cramer 2.16,9–11 **2–5** μῆνας…ὑπέστρεψεν Orig. fr. 46,1–5 **6–7** ἔθος…ἐγκύων Orig. fr. 47b

---

**98, 1** Τὸ δὲ εἰπεῖν om. Cyril, *Comm.* 72.480,39 | Ἰσραήλ[1]] οὐ τοῦ κατὰ σάρκα Cyril, *Comm.* 72.480,39–40 **1–2** τὸν…σεμνυνομένους] οὐ τοῦ κατὰ σάρκα, τοῦ τῷ ὀνόματι ψιλῷ σεμνυνομένου, ἀλλὰ τοῦ κατὰ πνεῦμα, τοῦ τὴν δύναμιν τῆς προσηγορίας τετηρηκότος Cyril, *Comm.* 72.480,39–42 **99, 1** Οὐ…ἐλάλησεν om. Cyril, *Comm.* 72.480,51 **1–3** τέλειοῖ…σωτῆρος] ἐπληροῦτο δὲ αὕτη ἡ ἐπαγγελία, ἐξ αὐτῆς μέλλοντος γεννᾶσθαι τοῦ κοινοῦ Σωτῆρος Χριστοῦ Cyril, *Comm.* 72.480,51–53 **100, 1** καὶ[1]] ἐκεῖ add. Orig. fr. 47a **2** βουλευομένη] ἀποροῦσά τε καὶ ἐκπληττομένη καὶ τί δεήσει γενέσθαι βουλευομένη Orig. fr. 47a | ἐγῷμαι] ἐγῶμε M **3** Ἐλισάβετ] ἡ Μαρία εἰς τὸν οἶκον αὐτῆς ἀνεχώρησεν add. Orig. fr. 46,2 | αὐτῆς] τῆς Ἐλισάβετ Orig. fr. 46,3 **4** παρθένον] εἰς Ναζαρὲτ εὐαγγελιζόμενος αὐτῇ add. Orig. fr. 46,4 | ἐκείνη δὲ δραμοῦσα] ἔδραμε δὲ Orig. fr. 46,4 **5** τὴν] ἑαυτῆς add. Orig. fr. 46,5 | τρεῖς…ὑπέστρεψεν] ἡ παρθένος καὶ ἔμεινεν ἐκεῖ ὡσεὶ μῆνας τρεῖς Orig. fr. 46,5–6 **5–6** τοῦτο…δηλοῦν] δῆλον ὅτι πληρωθέντος τοῦ χρόνου τῆς συλλήψεως εἰς τὸν οἶκον ἑαυτῆς ἀνεχώρησεν Orig. fr. 46,6–7 **6–7** καὶ…ἐγκύων] ἐστιν ὑποχωρεῖν τὰς παρθένους, ὅτε μέλλει τίκτειν ἡ ἔγκυος Orig. fr. 47b

## 101. f. 242v

Παρατηρήσασθαι δεῖ ἐν ὅλῃ τῇ Παλαιᾷ καὶ τῇ Καινῇ Γραφῇ, εἴ πού ἐστιν ἐπὶ ἁμαρτωλοῦ γενέσεως εἰρημένον τό· *ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν*. Ὅτι πολλοῖς δοκεῖ περισσὸν εἶναι τό· *ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν καὶ ἐγέννησεν υἱόν*. Ποία γὰρ γυνὴ δύναται τεκεῖν υἱόν, μὴ πληρωθέντος τοῦ τῆς συλλήψεως χρόνου; Καὶ οὐκ ἄν τις εὕροι τοῦτο ἐπὶ ἁμαρτωλοῦ, ἀλλ’ ὅπου ὠνόμασται τὸ τοιοῦτο, δίκαιός ἐστιν ὁ γεννώμενος· πληροῦνται οὖν αἱ ἡμέραι τῆς γεννήσεως τοῦ δικαίου καὶ τῆς ἐπιδημίας αὐτοῦ. Καὶ πληρότητα μὲν ἡ τοῦ δικαίου, κενότητα δὲ ἡ τοῦ φαύλου ἐπιδημία ἔχει. Εἰς τιμὴν δὲ τοῦ πατρὸς βουλομένων τῶν συγγενῶν ὄνομα θέσθαι τῷ παιδὶ Ζαχαρίαν ἡ Ἐλισάβετ, καίτοι τὴν γενομένην τῷ ἀνδρὶ τοῦ ὀνόματος τοῦ παιδὸς ἀποκάλυψιν μὴ ἀκούσασα, τῷ πνεύματι τὴν προσηγορίαν ἔγνω, ὑφ’ οὗ κινουμένη ἅτε καὶ προφήτης, Ἰωάννην τὸ παιδίον ἔφασκεν ὀνομάζεσθαι. Καὶ Ζαχαρίας δὲ τῇ χειρὶ καὶ τοῖς γράμμασιν σύμφωνα ἐλάλησε τῇ γυναικί, ὡς πάντας ἐκπλήττεσθαι καί· *τί τὸ παιδίον ἔσται* στοχάζεσθαι, ἅμα δὲ τῇ γραφῇ *ἐλύθη* ἡ δεδεμένη φωνή, καὶ *εὐλογῶν τὸν θεὸν* καὶ προεφήτευε τὰ ἀναγεγραμμένα.

---

**101, 1–2** Παρατηρήσασθαι…τεκεῖν Orig. *Hom.* 9.54,10–14 | Cramer 2.16,12–14 **1–6** Παρατηρήσασθαι…γεννώμενος Zac. 062-1; Vat. Pal. gr. 273, f. 274r **1–11** Παρατηρήσασθαι…ὀνομάζεσθαι *Scholia* 17.321,42–51 **2–4** Ὅτι…χρόνου Orig. *Hom.* 9.54,3–7 **4–8** Καὶ…ἔχει Orig. *Hom.* 9.54,14–21 **8–11** Εἰς…ὀνομάζεσθαι Orig. *Hom.* 9.55,5–14 **9–10** ἡ…προσηγορίαν Zac. 063-1; Vat. Pal. gr. 273, f. 274r **11–12** Καὶ…γυναικί Orig. *Hom.* 9.55,17–56,1 **12–13** ὡς…στοχάζεσθαι Orig. *Hom.* 9.56,3–5 **13** ἅμα…φωνή Orig. *Hom.* 9.56,11; Orig. *Scholia* 17.323,58 **13–14** καὶ…ἀναγεγραμμένα Orig. *Hom.* 9.57,16–18; Orig. Scholia 17.324,2–3

---

**101, 1** ἐστιν] εὑρεῖν add. Orig. *Hom.* 9.54,12; Orig. *Scholia* 17.321,43 **2** ἁμαρτωλοῦ] ἁμαρτωλῶν Orig. *Scholia* 17.321,43 **2–4** Ὅτι…χρόνου om. Orig. *Scholia* 17.321,44 **3** Ποία] Ποῖα M: corr. Ποία Orig. *Hom.* 9.54,5 **4–5** Καὶ οὐκ ἄν τις] οὐκ ἂν γάρ τις Orig. *Hom.* 9.54,14 Orig. Scholia 17.321,44–45 **5** τοῦτο ἐπὶ ἁμαρτωλοῦ] ὡς οἶμαι Orig. *Hom.* 9.54,15 Orig. *Scholia* 17.321,45 | τὸ τοιοῦτο] Orig. *Hom.* 9.54,16: ὅτι Orig. *Scholia* 17.321,46 **6** γεννώμενος] Καὶ τοῦτο δὲ καὶ τὰ λοιπά add. Orig. *Scholia* 17.321,46–47 **6–9** πληροῦνται…Ζαχαρίαν om. Orig. *Scholia* 17.321,47 **9** Ἐλισάβετ] Ἐλισάβετ: προφῆτις οὖσα καὶ ὑπὸ πνεύματος ἁγίου κινουμένη add. Orig. *Hom.* 9.55,7–9: προφῆτις οὖσα, καὶ τὴν add. Orig. *Scholia* 17.32,48 | τοῦ ὀνόματος τοῦ παιδὸς om. Orig. *Scholia* 17.321,49 **10–11** τὴν…προφήτης] ἔγνω τὴν παρὰ τοῦ ἀγγέλου ῥηθεῖσαν προσηγορίαν Orig. *Hom.* 9.55,12–13: ἁγίῳ τὴν παρὰ τοῦ ἀγγέλου ῥηθεῖσαν προσηγορίαν Orig. Scholia 17.321,50 **11** Ἰωάννην…ἔφασκεν] καὶ Ἰωάννην ἔφασκε τὸ παιδίον Orig. *Hom.* 9.55,13–14 Orig. Scholia 17.321,51 **11–13** Καὶ…στοχάζεσθαι om. Orig. Scholia 17.321,51 **12** πάντας] ἐπὶ τοῦτο add. Orig. *Hom.* 9.56,3–4 **13** ἅμα δὲ τῇ γραφῇ om. Orig. *Hom.* 9.56,11 Orig. Scholia 17.323,58 | καὶ om. Orig. *Hom.* 9.57,16: ἀλλ’ Orig. *Scholia* 17.324,2 **14** εὐλογῶν] εὐλογοῦσαν Orig. *Scholia* 17.324,2 | προεφήτευε] προεφητεύων Orig. *Hom.* 9.57,17: προφητεύουσαν Orig. *Scholia* 17.324,3

## 102. f. 242v

Ἰωάννης μὲν οὖν χάρις θεοῦ ἑρμηνεύεται, Ζαχαρίας δὲ μνήμη θεοῦ, Ἐλισάβετ θεοῦ μου ὅρκος. Δύο δὲ γενικὰς προφητείας προφητεύει Ζαχαρίας, τὴν προηγουμένην περὶ Χριστοῦ, τὴν δὲ ἑξῆς περὶ Ἰωάννου· καὶ ἔστιν ἀπὸ τῶν λέξεων τηρῆσαι τῶν μὲν προτέρων, ὅτι περὶ Χριστοῦ ὡς ἤδη παρόντος καὶ τῷ βίῳ ἐπιδεδημηκότος, ὡς γὰρ γεγονὼς λέγει τὸ ἐσόμενον, *εὐλογητὸς* γάρ φησι *κύριος, ὅτι ἐπεσκέψατο. ἐπισκοπήσαντος γὰρ τοῦ θεοῦ καὶ βουλομένου λυτρώσασθαι τὸν λαὸν αὐτοῦ, ἤγειρεν κέρας σωτηρίας ἡμῖν*. Τὸ δὲ κέρας ἢ ἀντὶ βασιλείας ἢ ἀντὶ δυνάμεως παρείληπται, ἀμφότερα δὲ ὁ Χριστός· αὐτὸς γὰρ βασιλεὺς βασιλευόντων καὶ Κύριος κυριευόντων. Ἐπεὶ γὰρ *ἐκ σπέρματος Δαβὶδ γέγονεν τὸ κατὰ σάρκα* ὁ Χριστὸς καὶ ἦν οὗτος ἀληθῶς *κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ παιδὸς αὐτοῦ*, διὰ τοῦτο ταῦτα προφητεύει. Ὅτι δὲ κέρας ὁ Χριστός, παριστᾷ ἡ προφητεία·

## 103. ff. 242v–243r

*Ἀμπελὼν γὰρ ἐγεννήθη ἐν κέρατι*. Τίνι κέρατι; Τῷ Χριστῷ τούτῳ, περὶ οὗ λέγει· *ἤγειρεν κέρας ἡμῖν*. Κέρας οὖν ὁ Χριστὸς ὡς βασιλεὺς καὶ δύναμις τοῦ πατρός, καὶ δεξιὰ ἡ ῥυσαμένη ἡμᾶς ἐκ τῶν ἐχθρῶν καὶ μισούντων οὐκ αἰσθητῶν ἀλλὰ νοητῶν. Τὸ δὲ *ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν* τοῦτο οἶμαι δηλοῦν, ὡς τάχα ἐν τῇ (243r) Χριστοῦ ἐπιδημίᾳ, καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ ὅλος ὁ χορὸς τῶν προφητῶν ἀπέλαυσαν τοῦ ἐλέους τοῦ θεοῦ. Οὐ γὰρ λέγω, ὅτι πρότερον μὲν ὠφέληντο, ἐν δὲ τῇ Χριστοῦ ἐπιδημίᾳ οὐκ ὠφέληντο.

---

**102, 1–2** Ἰωάννης…ὅρκος Orig. fr. 48 **2–4** Δύο…ἐπιδεδημηκότος Orig. *Hom.* 10.58,5–11 **4–5** ὡς[2]…ἐσόμενον Orig. fr. 50a,1 **5** εὐλογητὸς…ἐπεσκέψατο Orig. fr. 50a,2–3 **5–6** εὐλογητὸς…αὐτοῦ Orig. *Hom.* 10.58,14–16 **5–7** ἐπισκοπήσαντος…ἡμῖν Orig. fr. 50b **5–8** ἐπισκοπήσαντος…κυριευόντων Zac. 065-1; Vat. Pal. gr. 273, f. 274r **6–7** ἤγειρεν…ἡμῖν Orig. *Hom.* 10.58,18 **7–8** ἀμφότερα…κυριευόντων Cramer 2.17,11–18 **8–11** Ἐπεὶ…προφητεία Orig. *Hom.* 10.59,9–15 **103, 1–2** Ἀμπελὼν…ἡμῖν Orig. *Hom.* 10.59,15–18 **2–3** Κέρας…νοητῶν Editionem non inveni | Zac. 065-1; Vat. Pal. gr. 273, f. 274r; Cramer 2.17,16–18 **4–7** Τὸ…ὠφέληντο[2] Orig. *Hom.* 10.60,9–18

---

**102, 4** τῷ βίῳ ἐπιδεδημηκότος] ἐπιδεδημηκότος τῷ βίῳ Orig. *Hom.* 10.58,11–11 **5** γεγονὼς] γεγονὸς Orig. fr. 50a,1 | γάρ φησι om. Orig. *Hom.* 10.58,13 | κύριος] ὁ θεὸς τοῦ Ἰσραήλ add. Orig. *Hom.* 10.58,13–14 **7** σωτηρίας om. Orig. *Hom.* 10.58,18 | ἡμῖν] ἐν οἴκῳ Δαβίδ add. Orig. fr. 50b **103, 5–6** ὁ…θεοῦ] καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ Orig. *Hom.* 10.58,15–16 **5** καὶ[1]] οἱ πατέρες ἡμῶν Orig. *Hom.* 10.69,12 | τῶν] ἁγίων αὐτοῦ add. Orig. *Hom.* 10.69,14 **6** προφητῶν] καὶ δικαίων add. Orig. *Hom.* 10.69,14–15

## 104. f. 243r

Τί δὲ λέγω τοῦτο περὶ τῶν πατέρων; ἀναβήσομαι γὰρ τῷ λόγῳ καὶ ἐρῶ πεισθεὶς ταῖς γραφαῖς, ὅτι ἐν τῇ Χριστοῦ παρουσίᾳ οὐ μόνον τὰ ἐπὶ γῆς ὤνατο αὐτοῦ τῆς ἐπιδημίας καὶ τῆς οἰκονομίας, ἀλλὰ καὶ τὰ ἐν τοῖς οὐρανοῖς.

## 105. f. 243r

Ὁ ἀπόστολος γοῦν φησιν· *εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ εἴτε τὰ ἐπὶ γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς*· εἰ δὲ εἰρηνοποίησεν, τί ὀκνεῖς παραδέξασθαι, ὅτι καὶ πρὸς τοὺς πατέρας ἡ ἐπισκοπὴ γέγονεν ἐν τῇ Χριστοῦ ἐπιδημίᾳ καὶ τοῦτο ἡ εἰς τὸν ᾅδην αὐτοῦ ἄφιξις ἐπραγματεύσατο, ἵνα πληρωθῇ τό· *ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν*· κἂν γὰρ νῦν τοῦτο γέγονεν, ἀλλ' ἔκπαλαι προανεφωνήθη, τοῦτο γάρ ἐστιν τὸ *μνησθῆναι διαθήκης*, καὶ ἀδύνατον ἦν μὴ ἐκβῆναι τοὺς λόγους εἰς ἔργον· ὅρκῳ γὰρ ἐβεβαίωσε τὰς ἐπαγγελίας διὰ τὸ ἀπαράβατον, *τοῦ δοῦναι ἡμῖν*, φησίν, οἱ πιστοὶ *ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθῆναι.* Πολλάκις ῥύονταί τινες ἐκ χειρὸς ἐχθρῶν ῥυσθῆναι, ὥσπερ αἰφνίδιον ἡμᾶς λαβὼν ἀπ'αὐτοῦ, οὐκ αἰσθανθέντας τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν, ἀλλ' εἰ δεῖ οὕτως εἰπεῖν, ἀναισθητοῦντας μετέστησεν ἀπ' ἐκείνων *ἐπὶ τὴν μερίδα αὐτοῦ.* Τοῦ *λατρεύειν τῷ θεῷ ἐν ὁσιότητι ἐνώπιον αὐτοῦ*, ἐν πάσαις ταῖς ἐντολαῖς. *Καὶ σύ, παιδίον*, φησίν· ἐζήτουν κατ' ἐμαυτόν, διὰ τί τὴν περὶ Ἰωάννου προφητείαν οὐκ εἶπεν ὡς περὶ αὐτοῦ, ἀλλ' ὡς πρὸς αὐτόν· λέγει γάρ· *καὶ σύ, παιδίον*. Περισσὸν γὰρ τὸ λέγειν τῷ μὴ ἀκούοντι. Μήποτε οὖν παράδοξον γένεσιν ἀναλαβὼν ὁ Ἰωάννης, ἅτε ἀρχαγγέλου ταύτην κηρύξαντος καὶ ἅτε τῆς Μαρίας μετὰ τὸ συνειληφέναι τὸν κύριον παρούσης τῇ Ἐλισάβετ καὶ αὐτῷ ἤδη γεννωμένῳ, παράδοξον ἤδη καὶ τὴν παρακολούθησιν εἶχεν ἐξ ἀρχῆς. Εἰ δὲ ἀπιστεῖς, εἰ παρακολουθεῖ ὁ Ἰωάννης ἅμα τῷ γεννηθῆναι τῇ προφη-

---

**104, 1–3** Τί…οὐρανοῖς Orig. *Hom.* 10.60,18–61,2 **105, 1–5** Ὁ…ἡμῶν Orig. *Hom.* 10.61,2–12 **5–8** κἂν…ῥυσθῆναι Orig. fr. 51b ■7–11 **7–12** τοῦ…αὐτοῦ Orig. *Hom.* 10.61,14–62,8 **11–12** Τοῦ…αὐτοῦ Orig. *Hom.* 10.62,12–13 **12** ἐν…ἐντολαῖς Orig. *Hom.* 10.62,15–16 **12–27** Καὶ…ἀναγεγραμμένα Orig. *Hom.* 10.62,18–65,18

---

**105, 4** ἄφιξις] ἄφηξις M: corr. ἄφιξις **8** οἱ πιστοὶ om. Orig. *Hom.* 10.61,14 **9** ἐχθρῶν] μετὰ φόβου δέ. Νυνὶ δὲ ἡμᾶς ἡ Χριστοῦ ἐπιδημία πεποίηκεν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν add. Orig. *Hom.* 10.61,18–62,1 | ὥσπερ] ἀλλ'ὥσπερ 10.62,3 | λαβὼν ἀπ'αὐτοῦ] ἔλαβεν Orig. *Hom.* 10.62,4 **10** ἀλλ'] καὶ Orig. *Hom.* 10.62,6 **11** ἐπὶ] τὸν κλῆρον καὶ add. Orig. *Hom.* 10.62,8 | τῷ θεῷ] αὐτῷ Orig. *Hom.* 10.62,13 **11–12** ἐν ὁσιότητι] καὶ δικαιοσύνῃ add. Orig. *Hom.* 10.62,13 **12** ἐν…ἐντολαῖς] πασῶν τῶν ἁγίων αὐτοῦ ἐντολῶν Orig. *Hom.* 10.62,15–16 **13** κατ' ἐμαυτόν] Κατεμαυτὸν M: corr. κατ' ἐμαυτόν Orig. *Hom.* 10.62,19 **14** παιδίον προφήτης ὑψίστου κληθήσῃ add. Orig. Hom. 10.63,4 | γὰρ] γάρ ἐστι Orig. *Hom.* 10.63,5 | ἀκούοντι] τί δήποτε οὖν ὡς πρὸς ἀκούοντα ταῦτά φησιν add. Orig. *Hom.* 10.63,6–7

τείᾳ καὶ ἤκουεν τοῦ· *καὶ σύ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ*, ἴδε τὸ παραδοξότερον, ὅτι *ἐσκίρτησεν ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ*. Εἰ δὲ ἐν τῇ κοιλίᾳ ὢν ἐσκίρτησεν καὶ ἠγαλλίασεν, τί ἀπιστεῖς, εἰ γεγεννημένος ἅμα τῷ γεννηθῆναι ἤκουεν τοῦ πατρὸς προφητεύοντος καὶ λέγοντος αὐτῷ· *καὶ σύ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ*, καὶ διὰ τοῦτο τάχιον αὐτῷ παρόντι προεφήτευσεν, ᾔδει γὰρ ὅτι μετ’ ὀλίγον οὐ μέλλει ἔχειν τὸν υἱὸν παρ’ ἑαυτῷ τρεφόμενον ὁ πατήρ· ἦν γὰρ *ἐν ταῖς ἐρήμοις* ἅμα τῇ γενέσει. Παράδοξον γάρ τι χρῆμα ἦν Ἰωάννης, περὶ οὗ καὶ ἐλέχθη· *ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου*· ὡς οὖν ἄγγελος ἀποσταλεὶς ἤκουεν τοῦ πατρὸς προφητεύοντος τὰ ἀναγεγραμμένα. Πῶς δὲ *ἑτοιμάσει τὰς ὁδοὺς* φησι; τὸ ποιῆσαι γνῶναι τοὺς ἀνθρώπους, ὅτι παραγέγονεν ὁ τὰ ἁμαρτήματα συγχωρῶν.

## 106. 243r

**Βί(κτωρος)**. Γνῶσιν δὲ δοῦναι τοῖς πιστεύουσιν εἰς αὐτὸν Ἰουδαίοις τὲ καὶ Ἕλλησι δῆλον ὅτι καὶ λαοὶ αὐτοῦ χρηματίζουσιν, τούτοις γὰρ τὴν γνῶσιν παρέσχε τῆς σωτηρίας ἐπιγνῶναι θελήσασιν. *Διὰ* σπλάγχνα [*ἐλέ*]*ους* φησίν, ὅτι δι’ ἔλεος δόσις τῆς γνώσεως, ο[ὐ]δὲ γὰρ ἔργα εἰσηνέγκαμεν.

## 107. 243r–243v

**ἐξ ἀνεπιγράφου**. Εὐχαριστεῖ οὖν τῇ ἐπιφανείᾳ τοῦ Σωτῆρος, καὶ ἔλεον λέγων θεοῦ, καὶ ἐπίσκεψιν, καὶ ἀνατολὴν φωτὸς ἐξ ὕψους γενομένην, ἐξ ὕψους διὰ θεότητα, ἵνα οἱ ἐν σκότει ἀγνωσίας φωτισθῶσιν· οἱ ὑπ ἐξουσίαν θανάτου κείμενοι, ὑπ’ ἐξουσίαν

---

**23–25** διὰ…γενέσει Zac. 069-1; Vat. Pal. gr. 273, f. 274r **27–29** Πῶς…συγχωρῶν Orig. fr. 53b **106, 1–4** Γνῶσιν…εἰσηνέγκαμεν Editionem non inveni **2–3** δῆλον…θελήσασιν Zac. 070-1; Vat. Pal. gr. 273, f. 274r **107, 1–8** Εὐχαριστεῖ…ἔθνη Severus 471 | Zac. 072-1; Vat. Pal. gr. 273, f. 274v

---

**20** κοιλίᾳ[1]] ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ add. Orig. *Hom.* 10.64,9–10 **23** κληθήσῃ] προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ add. Orig. *Hom.* 10.64,22–24 | καὶ om. Orig. *Hom.* 10.64,24 | παρόντι] ὁ πατὴρ add. Orig. *Hom.* 10.64,25 ᾔδει γὰρ] ἐπειδήπερ ᾔδει ὡς προφήτης Orig. *Hom.* 10. 64,25–65,1 **24** τὸν υἱὸν] αὐτὸν Orig. *Hom.* 10.65,2 **24–25** ὁ…γενέσει] ἀλλ’ ἐν ταῖς ἐρήμοις διαιτώμενον. Τὸ γὰρ παιδίον ἐν ταῖς ἐρήμοις ἦν ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ Orig. *Hom.* 10.65,3–6 **27** ὁδοὺς] αὐτοῦ Orig. fr. 53b **28–29** ὁ τὰ ἁμαρτήματα συγχωρῶν] ὁ τοῖς πιστοῖς συγχωρῶν τὰ ἁμαρτήματα αὐτῶν Orig. fr. 53b **107, 1** οὖν om. Severus 471 | καὶ om. Severus 471 **2** ἐξ ὕψους διὰ θεότητα om. Severus 471

γενῶνται ζωῆς· οἱ πολέμῳ (243v) νοητῷ κατεχόμενοι τὴν ὁδὸν τὴν ἐπὶ εἰρήνην εὑρῶσιν. Ἦλθεν μὲν γὰρ ἐπὶ τὸ φωτίσαι τὸν Ἰσραήλ, προηγουμένως μέν, διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίαν. *Οὐκ ἀπεστάλην* γάρ, φησίν, *εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ*· οὐ δεξαμένων δὲ ἐκείνων, ἐπιφανεστέραν πολὺ τοῦ φωτὸς ἐπιλαμψιν ἐποιήσατο ἐπὶ πάντα τὰ ἔθνη.

**108. f. 243v**

Τὴν ἀποστεῖρας καὶ πρεσβύτιδος γένεσιν. Καὶ πρεσβύτου τοῦ πατρὸς κατὰ πνεῦμα καλεῖ γένεσιν ὁ ἀπόστολος ὡς ἐπὶ τοῦ ὁμοίως γεννηθέντος Ἰσαάκ, ὅν κατὰ πνεῦμα γεννηθῆναι φησίν, τοῦτ’ ἔστι κατὰ δύναμιν καὶ χάριν τοῦ πνεύματος. Τὸ δὲ *ἐν πνεύματι* γεγονὸς *ἐν πνεύματι* καὶ ηὐξάνετο.

**109. f. 243v**

Διττὸν γὰρ τὸ *αὐξάνειν*· τὸ μὲν σωματικόν, ἔνθα οὐδὲ προαίρεσις ἀνθρώπου συνεργεῖ, τὸ δὲ πνευματικόν, ὅπου προαίρεσις αἰτία τῇ αὐξήσει κεῖται. Τὸ οὖν κρεῖττον αὐξάνειν ἀνέγραψεν· ὅλον γὰρ τὸ λεγόμενον τοιοῦτον· *ηὔξανεν πνεύματι*· οὐ γὰρ αὐξανόμενον τὸ πνεῦμα ἐν ἑαυτῷ ἔμεινεν, ὁποῖον ἦν ἀπαρχῆς, ἀλλὰ ηὔξανεν τὸ πνεῦμα ἑαυτῷ, οὗ αὐξάνοντος καὶ ὁσημέραι πλείονος γενομένου καὶ ἡ ψυχὴ αὐτοῦ ἀκολούθως τῷ πνεύματι συνηύξανεν. Καὶ ἐὰν ἐντέλληται ὁ θεὸς προστακτικῶς λέγων· *αὐξάνεσθε καὶ πληθύνεσθε*, οἱ μὲν κατὰ σάρκα ἀκούοντες τοῦ λόγου οὐκ οἶδα πῶς δύνανται αὐξάνεσθαι. Ἔστω γὰρ τὸ *πληθύνεσθαι*, ἐπειδὴ ὁ πληθυσμὸς ἀριθμὸν πλείονα προσάγει τῶν πληθυνομένων. Πῶς οὖν ἐπὶ τοῦ ῥητοῦ προστάσσει ὁ θεὸς τὸ *αὐξάνειν*; Πᾶς ἄνθρωπος βούλεται εἰς τὸ μέγεθος ἐπιδιδόναι, ἀλλ’ οὐ πάντες ἐπιτυγχάνουσιν.

---

**108, 1–4** Τὴν…ηὐξάνετο Orig. fr. 54a,1–5 **109, 1–11** Διττὸν…ἐπιτυγχάνουσιν Orig. *Hom.* 11.66,5–67,7

---

**4** γενῶνται ζωῆς] ζωῆς γενῶνται Severus 471 | τὴν ἐπὶ εἰρήνην] τῆς εἰρήνης Severus 471 **5** Ἦλθεν…μέν] ὅς προηγουμένως ἐπὶ τὸ φωτίσαι ἦλθε τὸν Ἰσραὴλ Severus 471 **6–7** om. Severus 471 **8** ἐποιήσατο…ἔθνη] ἐπὶ πάντα τὰ ἔθνη ἐποιήσατο Severus 471 **108, 1–2** Τὴν…ἀπόστολος] Στεῖρα ἡ μήτηρ καὶ ἀμφότεροι πρεσβύτεροι οἱ γονεῖς. τὴν δὲ τοι– αύτην γένεσιν ὁ ἀπόστολος κατὰ πνεῦμα εἶναι λέγει Orig. fr. 54a,1–2 **2** ὅν] ὅτι Orig. fr. 54a,3 **3** γεννηθῆναι φησίν] γεγέννηται Orig. fr. 54a,3 **109, 4** ἀπαρχῆς] ἀπ’ ἀρχῆς Orig. *Hom.* 11.66,14

## 110. f. 243v

Εἰ τοίνυν τὸ προστακτικὸν ἔστιν καὶ δυνατὸν ποιῆσαι τὸ προστασσόμενον, ἐφ’ ἡμῖν ἐστιν τὸ *αὐξάνειν*.

## 111. f. 243v

Καὶ παράδειγμα περὶ οὗ γέγραπται· *καὶ Ἰσαὰκ προέκοπτεν καὶ μείζων* ἐγένετο, *ἕως οὗ ἐγένετο μέγας σφόδρα*· ὅπερ ἐστὶν ἐπιδιδοὺς τῇ αὐξήσει τῆς προαιρέσεως ἐπὶ τὸ ἀγαθόν, τῇ αὐξήσει τῆς ψυχῆς ἐπὶ τὸ βέλτιστον, τῇ αὐξήσει τοῦ νοῦ ἐπὶ τὸ διορατικόν, τῇ αὐξήσει τῆς μνήμης ἐπὶ τὸ δραστικώτερον, ὥστε πλειόνων μνημονεύειν. Οὕτως ὁ πάσας τὰς δυνάμεις τῆς ψυχῆς αὐτοῦ γεωργῶν πληροῖ τὴν λέγουσαν ἐντολήν· *αὐξάνεσθε*. Καὶ Ἰωάννης οὖν ὡς μακάριος καὶ ἔτι παιδίον ὢν ηὔξανεν· σπάνιον δὲ ἐν ἡμῖν εὑρεθῆναι παιδίον αὐξανόμενον πνεύματι. Ἄλλο δὲ τὸ *αὐξάνειν* καὶ ἄλλο τὸ *κραταιοῦσθαι*. Ἡ ἀνθρωπίνη φύσις ἀσθενής ἐστιν καί, ἵνα γένηται ἰσχυρά, χρείαν ἔχει βοηθείας κρείττονος. Τίνος οὖν χρεία, ἵνα κραταιωθῇ; Πνεύματος. Ὁ οὖν μέλλων ἀληθῶς κραταιοῦσθαι κραταιοῦται *πνεύματι*· οἱ μὲν γὰρ πολλοὶ κατὰ σάρκα κραταιοῦνται σαρκί, κραταιοῦνται *πνεύματι* καὶ διὰ τὸ ἐν αὐτῷ κραταιοῦσθαι ἰσχυροὶ γίνονται πρὸς *τὸ φρόνημα τῆς σαρκός*· παλαίοντος γὰρ τοῦ πνεύματος τῇ σαρκὶ νικᾷ τὸ πνεῦμα ἐν ἐκείνῳ, ἐν ᾧ ἡ κραταίωσις γίνεται τοῦ πνεύματος.

## 112. ff. 243v–244r

Ὥσπερ ἡ γένεσις αὐτοῦ παράδοξος *ἐσκίρτησε* γὰρ *ἐν ἀγαλλιάσει* ἐπιγινώσκων τὸν Χριστόν, καὶ ὡς ἐλαλεῖτο πρὸς αὐτὸν κατ’ αὐτὴν ὡς ἀκούοντα τὰ ὑπὸ τοῦ πατρός, ὅτι· *καὶ σύ, παιδίον, προφήτης κληθήσῃ*, οὕτως οὐδὲ ἔμεινεν μετὰ τοῦ πατρὸς καὶ τῆς μητρός, ἀλλ’ ἀνεχώρησεν φεύγων τὸν ἐν πόλεσι θόρυβον καὶ τὴν ἐν τοῖς ὄχλοις ἀηδίαν, ἵνα ἐν ταῖς ἐρημίαις τυγχάνων, ἐπεὶ μηδέπω ἐβούλετο αὐτὸν ὁ θεὸς ὑπηρετεῖν τῷ μυστηρίῳ τοῦ βαπτίσματος, εὐχαῖς σχολάζει παραδόξως ἀνατρεφόμενος. *Ἦν* γὰρ *ἡ τροφὴ* (244r) *αὐτοῦ* κατὰ τὸν Ματθαῖον *ἀκρίδες καὶ μέλι ἄγριον*· ἐπεὶ γὰρ διάκονος ἦν πρὸ τῆς Χριστοῦ ἐπιδημίας, διὰ τοῦτο ἡ τροφὴ αὐτοῦ οὐκ ἦν μέλι

---

**110, 1–2** Εἰ…αὐξάνειν Orig. *Hom.* 11.67,7–10 **111, 1–14** Καὶ…πνεύματος Orig. *Hom.* 11.67,15–68,22 **112, 1–11** Ὥσπερ…καθαρόν Orig. *Hom.* 11.68,31–70,19

---

**111, 11** σαρκί] οἱ δὲ θεοῦ ἀθληταὶ add. Orig. *Hom.* 11.68,15–16 **112, 2** τὰ] τὸ Orig. *Hom.* 11.69,4 **6** σχολάζει] σχολάζῃ Orig. *Hom.* 11.69,16 **8** ἦν πρὸ τῆς] ἦν τῆς πρώτης Orig. *Hom.* 11.70,10

ἥμερον· ἐτηρεῖτο γὰρ τὸ ἥμερον μέλι καὶ ἐξειργασμένον τῷ κυρίῳ, καὶ ἐπεὶ πρὸ τῆς παρουσίας προεφήτευεν καὶ ᾠκονόμει τὰ πρὸ τῆς παρουσίας, διὰ τοῦτο ἦν αὐτῷ τροφὴ πτηνῶν ὀλίγον αἰρομένων ἀπὸ τῆς γῆς, ἀκρίδες, βραχὺ ζῷον καὶ καθαρόν.

**113. f. 244r**

Οὕτω πάντα ξένα τὰ αὐτοῦ· καὶ ἡ τροφὴ ξένη, καὶ ἐκλεκτὸς ἀπὸ κόσμου ἅτε τὸν ὑπὲρ κόσμον μηνύων Χριστόν, καὶ ἐν ἐρήμῳ εὐθύς, ἔξω τῆς ἐν ἀνθρώποις κακίας ἀναστρεφόμενος, ἵνα καὶ ἀξιόπιστος γένηται ταύτην ἐλέγχειν· οὐ πρότερον δὲ τοῖς ἐν πόλεσιν ἐπιχωριάζειν ἤρξατο, εἰ μὴ τὸ ἐν αὐτῷ πνεῦμα δημοσιεῦσαι ἑαυτὸν προετρέψατο.

**114. f. 244r**

Ἐπὶ μὲν οὖν τοῦ Ἰωάννου ἀναγέγραπται· *τῇ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν*, ἐπὶ δὲ τῆς Μαρίας· *ἐπλήσθησαν αἱ ἡμέραι*, ἅπερ οὐ ταῦτα δοκεῖ. Ὁ μὲν γὰρ χρόνος ἔχει καὶ νύκτας, ἐπὶ δὲ τοῦ Ἰησοῦ οὐδαμοῦ νύκτες, ἀλλὰ μόναι ἡμέραι πληροῦνται, ἵνα ἀποτεχθῇ. Ἔτι ἡ μὲν Ἐλισάβετ *υἱὸν* λέγεται γεννῆσαι, ἡ δὲ Μαρία *τὸν υἱὸν* μετὰ τοῦ ἄρθρου, ἵνα ἐμφαντικῶς ὁ λόγος διδάξῃ, ὅτι αὕτη μὲν ψιλὸν ἄνθρωπον υἱὸν ἐγέννησεν, ἐκείνη δὲ οὐ ψιλὸν, ἀλλὰ σαρκωθέντα τὸν υἱὸν τοῦ θεοῦ.

**115. f. 244r**

Ποίαις ἡμέραις καθ’ ἃς ἐγεννήθη ὁ βαπτιστής, ἓξ γὰρ μησὶ πρόδρομος τοῦ σωτῆρος ἐγένετο εἰς τὴν κύησιν καὶ πρὸ ἓξ μηνῶν ἐτέχθη, ὡς δὲ οἱ ἀκριβέστεροι ἐπετήρησαν, καὶ πρὸ ἓξ μηνῶν τῆς ἀναλήψεως τοῦ σωτῆρος ἀπέθανεν, αὐγούστου δέ φησιν πρώτως βασιλεύσαντος Ῥωμαίων ἐξῆλθε δόγμα. Πρὸ αὐγο[ύ]στου γὰρ μόνος ἐγένετο Ἰούλ[ι]ος Καῖσαρ, ὁ μετὰ τοὺς ὑ[πά]τους· τύπος γὰρ ἦν πρὸ [του]του, ὑπάτους εἶναι βασιλεῖς ἐνιαυσιαίους, αὔγο[υ]στος δὲ βασιλεύσας λύει [τῆς] πολυαρχίας καὶ κατασχὼν παρέμεινε βασιλ[έ]ων· ἐπεὶ γὰρ ἔμελλε τὸ κήρυγμα διατρέχειν εἰς τὰ

**113, 1–5** Οὕτω…προετρέψατο Orig. fr. 54b **114, 1–6** Ἐπὶ…θεοῦ Orig. fr. 56,1–8
**115, 1–10** Ποίαις…κηρύττωσιν fontem non inveni

**11** πτηνῶν] πτηνὸν Orig. *Hom.* 11.70,17 | αἰρομένων] αἱρόμενον Orig. *Hom.* 11.70,17–18
**114, 1** οὖν om. Orig. fr. 56,1 | τῇ] δὲ add. Orig. fr. 56,2 **2** ἅπερ οὐ ταῦτα δοκεῖ] ἐπὶ δὲ τῆς Μαρίας· ἐπλήσθησαν αἱ ἡμέραι. Οὐ γὰρ ταὐτόν ἐστι πάντη τό· ἐπλήσθησαν αἱ ἡμέραι› τῷ· ἐπλήσθη ὁ χρόνος Orig. fr. 56,2–4 **4** λέγεται γεννῆσαι] γεννᾷ Orig. fr. 56,6 **6** ψιλὸν] μόνον add. Orig. fr. 56.8

πέρατα, οὐκ ἠδύναντ[ο] δὲ οἱ ἀπόστολοι μεταβαίν[ειν] ἀπὸ ἔθνους εἰς ἔθνος δι[α]φόροις βασιλεῦσι παλαί[ον]τες καὶ πολεμούμενοι παρ᾽ ἑκάστου. Προομαλίζει μία βασιλεία τὴν γῆν [ὁ] Θεός, ἵνα οἱ ἀπόστολοι ὡς εἰς μίαν βασιλείαν κηρύττωσιν.

## 116. 244r

Διαμέμνηται δὲ χρησίμως τῶν τοῦ Κα[ί]σαρος θεσπισμάτων, δε[ι]κνὺς ἐκλελοιπότας τοὺ[ς] τῶν Ἰουδαίων ἄρχοντα[ς] καὶ τοὺς ἡγουμένους, καὶ ὡς οὐκ ἔστιν ἔτι παρὰ [τῶν] ἐξ Ἰσραήλ, βασιλεὺς τῶν ἐ[κ] φυλῆς Δαυίδ, ἀλλ᾽ὑπὸ σκῆπτρα λοιπὸν ἔσχεν μετὰ [τῶν] ἄλλων τὴν Ἰουδαίαν ὁ Καῖσαρ, ὅ[ς] καὶ τὴν ἀπογραφὴν γενέσθαι κε[κέ]λευκεν.

## 117. f. 244r

Ἐτιμήθη δὲ πολυχρονίῳ ζωῆς, ἐπειδὴ [γὰρ] καθολικὴ χάρις ἐκλάμπειν ἔμελλεν επὶ πᾶσαν τὴν γῆν.

## 118. ff. 244r–244v

Μυστήριον δὲ μέγα παριστᾶ ὁ λόγος, ὅτι εἰς τὴν τῆς οἰκουμένης ὅλην ἀναγραφὴν ἔδει γραφῆναι Χριστόν, ἵ[να] (244v) συναναγραφεὶς τοῖς ἐν τῇ οἰκουμένῃ ἁγιάσῃ τὴν οἰκουμένην, καὶ μετὰ *τὰ ὀνόματα* τῶν συγγραφέντων αὐτῷ καὶ πιστευσάντων

---

**116, 1–5** Διαμέμνηται … κεκέλευκεν Cyril, *Comm.* 72.484,5–11 **117, 1–2** Ἐτιμήθη … γῆν Titus 148, 1–2 **1–2** ἐπειδὴ … γῆν Cramer 2.19,9–10; Zac. 074-2 ; Vat. Pal. gr. 273, f. 274v **118, 1–3** Μυστήριον … οἰκουμένην Orig. *Hom.* 11.71,10–15 **1–4** Μυστήριον … οὐρανοῖς Cramer 2.19,19–24; Zac. 074-1 ; Vat. Pal. gr. 273, f. 274v **3–4** καὶ[1] … οὐρανοῖς Orig. *Hom.* 11.71,17–19

---

**116, 1–5** Διαμέμνηται … κεκέλευκεν] Χρησίμως δὲ καὶ ἀναγκαίως ἐπεσημήνατο ὁ εὐαγγελιστὴς τῆς τοῦ Σωτῆρος ἡμῶν γεννήσεως καιρόν. Ἵνα γὰρ μάθωμεν, ὡς βασιλεὺς τῶν ἐκ φυλῆς Δαβὶδ, οὐκ ἦν παρὰ τῶν ἐξ Ἰσραὴλ, ἀλλ' οἱ παρ' αὐτοῖς ἄρχοντες ἐκλελοίπασιν, εἰκότως διαμέμνηται τῶν τοῦ Καίσαρος θεσπισμάτων, ὡς ὑπὸ σκῆπτρα λοιπὸν ἔχοντος μετὰ τῶν ἄλλων τὴν Ἰουδαίαν· οὕτω γὰρ κεκέλευκε γενέσθαι τὴν ἀπογραφήν Cyril, *Comm.* 72.484,5–11 **117, 1** Ἐτιμήθη … ζωῆς om. Titus 148,1 | ἐκλάμπειν ἔμελλεν] ἔμελλεν ἐκλάμπειν Titus 148, 1 | επὶ] εἰς Titus 148, 1 **118, 1** Μυστήριον … λόγος] Μυστήριόν τι μέγα βούλεται ὁ λόγος παραστῆσαι Orig. *Hom.* 11.71,10 **2** γραφῆναι] ἀναγραφῆναι Orig. *Hom.* 11.71,13 Χριστόν] Ἰησοῦν add. Orig. *Hom.* 11.71,13 **3** καὶ[1]] ἵνα Orig. *Hom.* 11.71,17

αὐτῷ *ἐν τοῖς οὐρανοῖς*. [Ἔπ]εὶ οὖν καθολικὴ χάρις ἐκλάμπειν ἔμελλεν εἰς πᾶσαν τὴν γῆν, γίνεται ἓν πρόσταγμα καθ' ὅλης τῆς οἰκουμένης σωτῆρος ἑνὸς ἐν ὅλης γεννωμένου, τοῦτο δὲ γέγονεν, ἵν' ἀπέλθῃ Ἰωσὴφ εἰς τὴν ἰδίαν πατρίδα, ὡς ἐκ τοῦ γένους ὤν, ἵνα μὴ ψευσθῇ ἡ προφητεία ἐκ Βηθλεὲμ λέγουσα τὸν Χριστόν.

### 119. f. 244v

Ἀπεγράφη δὲ ἐν τῇ μήτρα φερόμενος, καὶ κῆνσον ἐτέλεσεν τῷ κράτει νομοθετῶν ὑποτάσσεσθαι, ὅτ' ἂν μηδὲν παραβλάπτῃ πρὸς τὴν εὐσέβειαν.

### 120. f. 244v

Ἵνα δείξῃ, ὅτι οὐ ψιλὸν ἄνθρωπον ἐγέννησεν ἡ Παρθένος, ἐπήγαγεν τὸν πρωτότοκον, οὐ τῆς παρθένου, [οὐ] γὰρ ἔσχεν καὶ ἕτερον υἱόν, [ἀλλ' ἦν] ἔτι παρθένος καί[τοι τε]κοῦ[σα] Χριστόν, ἀλλὰ [....]ον τὸν τοῦ [Πατρός·] περὶ οὗ φησιν ὁ [Θεὸς] καὶ πατὴρ διὰ Δαβίδ· *κἀγὼ πρωτότοκον θήσομαι αὐτόν*, καὶ περὶ οὗ καὶ Παῦλος μνημονεύει· *ὅταν εἰσαγάγῃ λέγων τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην*; Ἔξω γὰρ ὑπάρχων αὐτῆς, οὐ τοπικῶς μᾶλλον, ἀλλὰ φυσικῶς· ἕτερος γὰρ κατὰ φύσιν ἐστὶ παρά γε τοὺς κατὰ τὴν οἰκουμένην. Εἰσβέβηκεν εἰς αὐτὴν γενόμενος ἄνθρωπος, καὶ μέρος αὐτῆς χρηματίσας διὰ τὴν σάρκωσιν· καίτοι μονογενὴς ὑπάρχων θεϊκῶς.

---

**4–6** Ἔπεὶ…γεννωμένου Zac. 074-2; Vat. Pal. gr. 273, f. 274v **4–6** Ἔπεὶ…πατρίδα Titus 148,1–7 **4–7** Ἔπεὶ…Χριστόν [ἐπ]εὶ...Χριστόν Cramer 2.19,9–18 **6** τοῦτο…πατρίδα Zac. 074-3; Vat. Pal. gr. 273, f. 274v **119, 1–2** Ἀπεγράφη…εὐσέβειαν Isidor. Pelus. Epist. 48,4–7 | Cramer 2.19,25–27 **120, 1–5** Ἵνα…οἰκουμένην Cyril, *Comm.* 72.485,29–37 **5–8** Ἔξω…θεϊκῶς Cyril, *Comm.* 72.485,39–44

---

**4** Ἔπεὶ οὖν] ἐπειδὴ γὰρ Titus 148,1 | ἐκλάμπειν ἔμελλεν] ἔμελλεν ἐκλάμπειν Titus 148,1 **5–6** ἑνὸς…γεννωμένου] ὅλῃ τῇ οἰκουμένῃ γενωμένου Titus 148,3 **6** τοῦτο δὲ γέγονεν] ἵνα ἕκαστος ἑαυτοῦ τὴν πατρίδα ἐπιγνῷ. Τοῦτο δὲ ἐγένετο Titus 148,5–6 **6–7** ὡς…Χριστόν om. Titus 148,7 **119, 1** Ἀπεγράφη δὲ] Ἀπεγράφη ὁ Κύριος Isidor. Pelus. Epist. 48,4 | ἐτέλεσεν] ἐτέλεσε Καίσαρι Isidor. Pelus. Epist. 48,5 **2** ἂν] ὅταν Isidor. Pelus. Epist. 48,6 **120, 1** δείξῃ] οὖν add. Cyril, *Comm.* 72.485,29 **2–3** οὐ[1]…Πατρός] ἕτερον γὰρ οὐκ ἔσχεν υἱὸν, μείνασα παρθένος, ἀλλὰ τὸν τοῦ Πατρός Cyril, *Comm.* 72.485,31–32 **3** περὶ οὗ φησιν] καὶ Cyril, *Comm.* 72.485,32 **4** διὰ Δαβίδ] διὰ φωνῆς τοῦ Δαβὶδ βοᾷ Cyril, *Comm.* 72.485,33 | κἀγὼ] καγὼ M: corr. κἀγὼ | αὐτόν] ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς add. Cyril, *Comm.* 72.485,34–35 **4–5** καὶ[2]…μνημονεύει] Τούτου καὶ ὁ πάνσοφος Παῦλος διαμνημονεύει λέγων Cyril, *Comm.* 72.485,35–36 **5** ὅταν] δὲ add. Cyril, *Comm.* 72.485,36 **6** ὑπάρχων] ὑπάρχει Cyril, *Comm.* 72.485,39 7 Εἰσβέβηκεν] δὲ add. Cyril, *Comm.* 72.485,42 **8** καίτοι] γὰρ add. Cyril, *Comm.* 72.485,44

**121. f. 244v**

Ἐπειδὴ δὲ γέγονεν ἡμῖν ἀδελφός, ταύτῃ τοι καὶ ὠνομάσθη πρωτότοκος, πρωτεύει γὰρ ὡς ἔφην αὐτὸς ἐν πᾶσιν ἀπαρχὴ τῆς τῶν ἀνθρώπων υἱοθεσίας γεγονώς, οὐχ ὅτι οὖν ἔσχεν ἄλλους υἱοὺς πρωτότοκος αὐτὸς καλεῖται, ἀλλὰ πρωτότοκον ὅτ' ἂν λέγει, τὸν πρωτότοκον τῆς νέας κτίσεως λέγει· οὐ γὰρ πρωτότοκος ἦν τῶν περὶ Ἰάκωβον καὶ Ἰούδαν καὶ Συμεώνα, ἀλλὰ πρωτότοκος τῶν πιστῶν, ὧν ἀδελφὸν αὐτὸν διὰ τὴν οἰκονομίαν ὁ Παῦλος καλεῖ, λέγων *πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς*.

**122. f. 244v**

*Ἐγέννησε τὸν υἱὸν αὐτῆς*, φησίν, οὐ γὰρ ἦν τοῦ Ἰωσήφ, ἀλλὰ τῆς παρθένου τὸ βλάστημα.

**123. f. 244v**

Οὐχ εὑρίσκει τόπον, οὐ γὰρ ἐναυλίζεται θεὸς τοῖς ὑφ' ἁμαρτίαν οὖσιν ἡμῖν, ἐπεὶ γὰρ εὗρεν ἀποκτηνωθέντα τὸν ἄνθρωπον· *παρασυνεβλήθη* γάρ φησι *τοῖς κτήνεσιν*, γέγονεν αὐτοῖς ὡς ἐν τάξει τροφῆς κείμενος, ἵνα τὸν κτηνοπρεπῆ μεταμείψαντες βίον, εἰς τὴν ἀνθρώπῳ πρέπουσαν ἀνακομισθῶμεν σύνεσιν· οὐχ ἁπλῶς δὲ ὡς βρέφος ὁρᾶται ἐν φάτνῃ, ἀλλ' ἡ καθ' ἡμᾶς πτωχεία διὰ τούτου παρίσταται.

**124. f. 244v**

Τί δήποτε ὁ ἄγγελος οὐκ ἀπῆλθεν εἰς Ἱερουσαλήμ, οὐκ ἐζήτησεν τοὺς γραμματεῖς καὶ Φαρισαίους, οὐκ εἰσῆλθεν εἰς τὴν τῶν Ἰουδαίων συναγωγήν, ἀλλὰ *ποιμένας* εὐηγγελίσατο.

---

**121, 1–2** Ἐπειδὴ…γεγονώς Cyril, *Comm.* 72.485,44–47 **2–6** οὐχ…ἀδελφοῖς fontem non inveni **122, 1–2** Ἐγέννησε…βλάστημα fontem non inveni **123, 1** Οὐχ…ἡμῖν fontem non inveni **1–4** ἐπεὶ…σύνεσιν Cyril, *Comm.* 72.488,46–50 **4–5** οὐχ…παρίσταται fontem non inveni **124, 1–3** Τί…εὐηγγελίσατο Orig. *Hom.*12.72,8–16

---

**121, 1** δὲ om. Cyril, *Comm.* 72.485,44 | ἡμῖν] ἡμῶν Cyril, *Comm.* 72.485,45 **1–2** πρωτεύει… πᾶσιν] ἵνα ὡς Cyril, *Comm.* 72.485,46 **123, 1** ἐπεὶ γὰρ om. Cyril, *Comm.* 72.488,46 **2–3** παρασυνεβλήθη…κείμενος] διὰ τοῦτο ἐν φάτνῃ ὡς ἐν τάξει τροφῆς τέθειται Cyril, *Comm.* 72.488,47–48 **4** ἀνθρώπῳ] ἀνθρώπο M **124, 2** καὶ] τοὺς add. Orig. *Hom.* 12.72,10 ποιμένας] εὗρεν ἀγραυλοῦντας καὶ φυλάσσοντας τὰς φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν κἀκείνους add. Orig. *Hom.* 12.72,13–15

## 125. ff. 244v–245r

**Ὠρ(ιγένους)**. Ἆρ’ ὁ λόγος οὐδὲν αἰνίσσεται, ἀλλ’ ὄντως τὸ προκείμενον ἦν, ποιμέσι προβατίων τοιούτων αἰσθητῶν τὸν ἄγγελον ἐπιστάντα λελαληκέναι, καὶ οὐδὲν (245r) ἄλλο ἐμφαίνει παρὰ τοῦτο; Ἀλλὰ τοῖς τῶν ἐκκλησιῶν ποιμέσιν ὁ ἄγγελος εὐαγγελίζεται τὸν Χριστόν. Οὗτοι γάρ, ἐὰν μὴ ἐκεῖνος ὁ ποιμὴν ἔλθῃ, οὐ δύνανται ποιμαίνειν ἀφ’ ἑαυτῶν καλῶς· ἐλλιπὴς αὐτῶν ἡ ποιμαντική, ἐὰν μὴ Χριστὸς αὐτοῖς συνεργῇ.

## 126. f. 245r

*Θεοῦ γάρ*, φησιν, *ἐσμὲν συνεργοί*. Καὶ γὰρ ἔταξεν *ἐν τῇ ἐκκλησίᾳ ἀποστόλους, προφήτας, διδασκάλους, εὐαγγελιστάς, ποιμένας, πάντας εἰς τὸν καταρτισμὸν τῶν ἁγίων*, ὡς οὖν τύπον ἐπέχουσι τῶν τὰς ἐκκλησίας μελλόντων ποιμαίνειν, αὐτοῖς εὐηγγελίσθη τοῖς ποιμέσιν, καὶ μάλα εἰκότως.

## 127. f. 245r

Αὐτοὺς γὰρ ἔδει τό· *ἐπὶ γῆς εἰρήνη* κατὰ τὴν πρώτην τάξιν ἀκούειν, οἵτινες ἔμελλον τὴν εἰρήνην ἐπιφωνεῖν παντὶ τῷ τῆς ἐκκλησίας πληρώματι. Τὸ δὲ τῶν ποιμένων πρόσωπον καὶ ἡ δι’ ἀποκαλύψεως αὐτοῖς γενομένη χαρὰ σημαίνει σαφῶς, ὡς ἐπὶ *τὸ πλανώμενον πρόβατον* ἦλθεν *ὁ ποιμὴν ὁ καλός*.

## 128. f. 245r

Ποιμένας γὰρ οὐδὲν οὕτως εὐφραίνει, ὡς ἡ τοῦ ἀπολωλότος βοσκήματος εὕρεσις, ὅπερ οὐκ ἦν ἑτέρου τινὸς εὑρεῖν ἢ *τοῦ ἀρχιποιμένος Χριστοῦ*. Ταῦτα μὲν ἐπὶ τὸ εὐχερέστερον. Εἰ δὲ δεῖ ἀναβῆναι καὶ ἐπὶ λόγον μυστικώτερον, λέγω, ὅτι ἦσάν τινες ποιμένες ἄγγελοι πεπιστευμένοι, εἰ δεῖ εἰπεῖν, τοὺς ἀνθρώπους· καὶ τούτων ἑκάστου ἀγραυλοῦντος ἐπὶ τὴν φυλακὴν τὴν ἑαυτοῦ καὶ κάμνοντος καὶ δεομένων πάντων βοηθείας, ἵνα τὰ ἔθνη τὰ ἐπ’ αὐτοῖς οἰκονομηθῇ καλῶς, ἦλθεν ὁ ἄγγελος ἐπὶ

**125, 1–6** Ἆρ’…συνεργῇ Orig. *Hom.* 12.73,2–13 **126, 1–3** Θεοῦ…ἁγίων Orig. *Hom.* 17.73,13–22 **3–4** ὡς…εἰκότως Orig. fr. 58a **127, 1–4** Αὐτοὺς…καλός Orig. fr. 58b,1–5 **128, 1–2** Ποιμένας…Χριστοῦ Orig. fr. 58c **2–18** Ταῦτα…Χριστοῦ Orig. *Hom.* 12.73,24–76,12

**126, 3** ὡς οὖν om. Orig. fr. 58a **3–4** αὐτοῖς…ποιμέσιν om. Orig. fr. 58a **127, 1** ἔμελλον] ἤμελλον Orig, fr. 58b,2

τῇ γενέσει τοῦ Ἰησοῦ λέγων· *μὴ φοβεῖσθε· εὐαγγελίζομαι γὰρ ὑμῖν χαράν*. Ἀληθῶς γὰρ χαρὰ μεγάλη τοῖς οἰκονομοῦσι τοὺς ἀνθρώπους γέγονεν, ὅτι Χριστὸς Ἰησοῦς ἐπιδεδήμηκεν. Ὡς γὰρ ἑκάστῳ τῶν ἀνθρώπων πάρεισιν δύο ἄγγελοι, ὁ μὲν τῆς δικαιοσύνης, ὁ δὲ τῆς ἀδικίας, καὶ ἐὰν μὲν ἀνατείλῃ ἡμῶν ἐπὶ τὴν καρδίαν τὰ ἀγαθά, δηλονότι ὁμιλεῖ ἡμῖν ὁ ἄγγελος τοῦ θεοῦ· ὅταν δὲ ἀναβῇ ἡμῶν ἐπὶ τὴν καρδίαν τὰ φαῦλα, ὁμιλεῖ ἡμῖν ὁ ἄγγελος τοῦ διαβόλου. Ὡς οὖν καθ' ἕκαστον δύο ἄγγελοί εἰσιν, οὕτως οἶμαι, ὅτι καὶ κατὰ ἔθνη ἄγγελοί εἰσιν, οἱ μὲν κρείττονες, οἱ δὲ ἐναντίοι. Οἷον ἐν Ἐφέσῳ εἰκός, ὅτι διὰ μὲν τοὺς ἁμαρτάνοντας ἄγγελός τις ἦν ἐγκεχειρισμένος τοὺς ἁμαρτάνοντας, διὰ δὲ τοὺς πιστεύοντας, ὅτι ἄγγελός τις ἦν τῆς Ἐφεσίων ἐκκλησίας, οὕτω δὴ καὶ πανταχοῦ καὶ πρὸ τῆς Χριστοῦ ἐπιδημίας. Οἷον οὖν ἐνδυναμοῦνται οἱ ἄγγελοι συνιστᾶν πανταχοῦ ἐκκλησίας ἀπὸ τῶν ἐθνῶν ἐκ τοῦ εὐαγγελισμοῦ τοῦ ἀγγέλου περὶ τοῦ Χριστοῦ.

### 129. f. 245r

Ἐπισυνάπτει δὲ τῷ ὕμνῳ ἡ ἀγγελικὴ στρατιὰ τῷ· *δόξα ἐν ὑψίστοις θεῷ* τό· *καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας*, ἐπειδήπερ κεκμήκει βοηθοῦσα τοῖς ἀνθρώποις καὶ ἑώρα, ὅτι οὐκ ἠδύνατο τελειῶσαι τὸ ἔργον, ὃ ἦν ἐγκεχειρισμένη, χωρὶς τοῦ σωτῆρος.

### 130. f. 245r

Διὰ μὲν [γὰρ] τοῦ εἰπεῖν μετ' ἐπιτάσεως τό· *[ἐν] τοῖς ὑψίστοις* ἐνέφηνεν τὴν πασῶν ὑψηλοτέραν δόξαν ὀφειλομένην ἀναπέμπεσθαι τῷ Χριστῷ· μόλις γὰρ τῶν ἔστιν τῶν *ἐν ὕψει* δυνάμεων, τὴν ἐπὶ τῇ καταβά[σει] τοῦ ὑψίστου ἀναπέμπειν δοξολογίαν, διὰ δὲ τοῦ· *ἐπὶ γῆς εἰρήνη* τὸ εἰρηνοποιηθῆναι διὰ τῆς ἐπιδημίας αὐτοῦ, *εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τῷ οὐρανῷ*, παρίς[ταται]. Καὶ γὰρ ἐζήτουν οἱ τοῦ θεοῦ ἄγγελοι, ἐχθροὺς βλέποντες τοὺς ἀνθρώπους διὰ τὰς ἁμαρτίας, φίλους αὐτοὺς ποιῆσαι καὶ πεποιήκασι τὰ παρ' ἑαυτοῖς, ἵνα αὐτοὺς θεραπεύσωσιν, οἱ δὲ οὐδὲν ἧττον οὐκ ἰάθησαν, ἰδόντες τὸν ἰασάμενον δοξάζουσι καὶ *ἐπὶ γῆς εἰρήνη* λέγουσιν.

---

**129, 1–4** Ἐπισυνάπτει…σωτῆρος Orig. *Hom.* 13.77,7–14 **130, 1–2** Διὰ…Χριστῷ Orig. fr. 59a **2–3** μόλις…δοξολογίαν Orig. fr. 59b **3–8** διὰ…λέγουσιν Orig. *Hom.* 13.78,15–26

---

**130, 1** τό om. Orig. fr. 59a | ἐνέφηνεν] ἐνέφηναν Orig. fr. 59a **2–3** μόλις…δοξολογίαν] οὐδενὸς γὰρ ἔστι τῶν *ἐπὶ γῆς* ἀναπέμπειν τὴν ἐπὶ τῇ καταβάσει τοῦ ὑψίστου δοξολογίαν, μόλις δὲ τῶν *ἐν ὕψει* δυνάμεων Orig. fr. 59b **5** Καὶ] Ἐπεὶ Orig. *Hom.* 13.78,19

### 131. f. 245r

Τὸ δὲ *ἐν ἀνθρώποις εὐδο[κίας]* [..] τοῦ ἐπιθυμη[τικοῦ] [...] θεὸς τοῦ εὐ[...] εὐδοκεῖν γὰρ [ἐ]πιθυμητικῶς πρὸ[...]

### 132. f. 245r

Ἀλλὰ ζητήσει τις ἂν ἐν [τῷ τό]πῳ· εἰ ὁ σωτὴρ λέγει· *οὐκ ἦλ[θον] βαλεῖν εἰρήνην ἐπὶ τὴν [γῆν], ἀλλὰ μάχαιραν*, πῶς οἱ ἄγγελοι ἐπὶ τῇ γενέσει αὐτοῦ λέγουσιν· *ἐπὶ γῆς εἰρήνη*; Αὐτὸς δὲ ἀλλαχοῦ λέγει· *εἰρήνην ἀφίημι ὑμῖν*.

### 133. ff. 245r–245v

Ἀλλ' (245v) [εἰ ἐγέ]γραπτο μόνον τό· *ἐπὶ γῆς εἰρήνη* καὶ μέχρι τούτου στᾶσα ἦν ἡ γραφή, εἶχεν ἄν τινα [λ]όγον τὸ ἀπορούμενον. Νῦν [δ]ὲ ἡ προσθήκη λύει τὸ ζη[το]ύμενον, ἥτις καὶ μετὰ [τό·] *ἐπὶ γῆς εἰρήνη* ἔστιν· *ἐν [ἀνθρώπ]οις εὐδοκία*. Εἰ δὲ *εἰρή[ν]ην* λέγει ὁ σωτὴρ μὴ διδόναι *ἐπὶ γῆς*, οὐκ ἔστιν *εὐδοκίας εἰ[ρ]ήνη*. Οὐ γὰρ ἀρνεῖται διδόναι τὴν εἰρήνην, ἀλλ' ἁπλῶς λέγει· *οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν*. Οὐκ εἶπεν δὲ *εὐδοκίας εἰρήνην*· [ἀ]λλὰ ταῦτά γε εἶπον παρὰ [τ]οῖς ποιμέσιν οἱ ἄγγελοι. Καὶ [ἅγ]ιοι ποιμένες ἐὰν μὴ ἔ[χ]ωσι καὶ ἀγγέλους συμποι[μαί]νοντας, λεχθήσεται τό· *ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, [εἰ]ς μάτην ἠγρύπνησεν ὁ φυλάσσων*. Ἔστιν δὲ εἰπεῖν ἀπὸ τῆς γραφῆς, ὅτι δύο [εἰσ]ὶν ἑκάστης ἐκκλησίας ἐ[πί]σκοποι, ὁ μέν τις αἰ[σθη]τὸς καὶ βλεπόμενος, ὁ [δέ τις] νοητός· καὶ ὥσπερ [ὁ ἄνθρωπος] ἐπαινεῖται καλῶς οἰ[κον]ομήσας, οὕτως καὶ ὁ [ἄγγελος. Γέγρ]απται γοῦν ἐν [τῇ Ἀποκαλύψει Ἰω]άννου· [ἀλλὰ ἔχετε ὀνόμα[τα ὀλί]γα, ἅτινα ἐμόλυναν. [καὶ] *ἔχεις ἐκεῖ τάδε ἁμαρ[τή]ματα ποιοῦντας*, καὶ [μ]έμφεται τοῖς ἀγγέλοις. Εἰ [δὲ] τοῖς ἀγγέλοις μέμφεται [τοῖ]ς πεπιστευμένοις τὰς [ἐ]κκλησίας καὶ φροντί[ζο]υσιν, ὧν πεπιστευμένοι [εἰ]σὶν ἄγγελοι, τί χρὴ λέγειν περὶ ἀνθρώπων, ὅσον δεῖ φόβον ἔχειν, ἵνα δυνηθῶσιν συμπλέοντες τοῖς ἀγγέλοις συνσωθῆναι τοῖς ἀγγέλοις;

---

**131, 1–2** Τὸ…πρὸ fontem non inveni **132, 1–3** Ἀλλὰ…ὑμῖν Orig. *Hom.* 13.79,2–8 **133, 1–16** Ἀλλ'…ἀγγέλοις[2] Orig. *Hom.* 13.79,13–81,7

---

**132, 1** ζητήσει] ζητήσαι Orig. *Hom.* 13.79,2 **133, 3** εὐδοκία] εὐδοκίαςOrig. *Hom.* 13.79,19 **12** ἅτινα] οὐκ add. Orig. *Hom.* 13.80,22 | καὶ] καὶ πάλιν Orig. *Hom.* 13.80,23

## 134. f. 245v

Οἶον γὰρ κοινωνοί εἰσι τοῦ ἔργου ἀμφότεροι ἐπίσκοποι, ὁ νοητὸς λέγω δὴ ὁ ἄγγελος ὁ πεπιστευμένος τὴν ἐκκλησίαν καὶ ὁ αἰσθητός.

## 135. f. 245v

Βηθλεὲμ *οἶκος ἄρτου* ἑρμηνεύεται, ποῦ δὲ ἔμελλον οἱ ποιμένες μετὰ τὸ κήρυγμα τῆς εἰρήνης, ἢ ἐπὶ τὸν πνευματικὸν οἶκον τοῦ οὐρανίου ἄρτου Χριστόν, τοὐτέστιν τὴν Ἐκκλησίαν ἐπείγεσθαι. Σπεύσαντες δὲ ἦλθον καὶ οὐ βάδην οὐδὲ ἐκλελυμένως· διὰ τοῦτο εὗρον αὐτὸν *ἐν φάτνῃ*. Αὕτη δὲ ἦν, περὶ ἧς ὁ προφήτης ἔλεγεν· *ἔγνω βοῦς καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ*, ὃ μυστήριόν ἐστιν δηλούμενον· βοῦς καθαρὸν ζῷον, ὄνος ἀκάθαρτον. Οὐχ ὁ λαὸς ἔγνω τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, ἤγουν ὁ ἐξ Ἰσραήλ, ἀλλὰ τὸ ἀκάθαρτον ζῷον, τὸ ἀπὸ τῶν ἐθνῶν.

## 136. ff. 245v–246r

**Ὠρ(ιγένους)**. Ἀπέθανεν Χριστός, *τῇ ἁμαρτίᾳ ἀπέθανεν*, οὐχ ὅτι ἥμαρτεν, *οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*, ἀλλ’ ὅτι ἀπέθανεν, ἵνα ἡμεῖς οἱ συναποθανόντες αὐτῷ, αὐτοῦ ἀποθανόντος *τῇ ἁμαρτίᾳ*, μηκέτι ζῶμεν *τῇ ἁμαρτίᾳ*. Δι’ ὃ λέγεται· *εἰ συναπεθάνομεν, καὶ συνζήσομεν*· ὥσπερ οὖν συναπεθάνομεν αὐτῷ ἀποθνήσκοντι τότε, οὕτω περιετμήθημεν αὐτῷ περιτμηθέντι τότε· καὶ μετὰ τὴν περιτομὴν αὐτὴν γέγονεν οἰκονομία ἡ διὰ τοῦ προτέρου καθαρισμοῦ. Διὰ τοῦτο (246r) ἡμεῖς οὐκέτι περιτεμνόμεθα, ὅτι ἡ περιτομὴ αὐτοῦ δι’ ἡμᾶς γεγένηται· *ἐν ᾧ περιετμήθητε*, φησὶν ὁ Παῦλος, *περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός*, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως. Οὐκοῦν καὶ ὁ θάνατος αὐτοῦ ὑπὲρ ἡμῶν γέγονεν, καὶ ἡ ἀνάστασις καὶ ἡ περιτομή. Ἀναγκαίως δὲ ἐπεσημήνατο ὁ εὐαγγελιστὴς λέγων· *ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου.*

---

**134, 1–2** Οἶον … αἰσθητός Orig. *Hom.* 13.81,8–11 **135, 1–3** Βηθλεὲμ … ἐπείγεσθαι Orig. fr. 60a; Cyril, *Comm.* 72.489,15–19 **3–7** Σπεύσαντες … ἐθνῶν Orig. *Hom.* 13.82,5–18 **136, 1–15** Ἀπέθανεν … ὄνομα Orig. *Hom.* 14.83,5–84,25

---

**135, 1** Βηθλεὲμ] γὰρ add. Orig fr. 60a | ἑρμηνεύεται] μεθερμηνεύεται Orig. fr. 60a | δὲ ἔμελλον] ἔμελλον Cyril, *Comm.* 72.489,16: δὲ ἤμελλον Orig. fr. 60a,2 **2** εἰρήνης] ἐπείγεσθαι add. Cyril, *Comm.* 72.489,17 | Χριστόν] Χριστοῦ Orig. fr. 60a,3: om. Cyril, *Comm.* 72.489,18 τοὐτέστιν] τοὐτέστι Cyril, *Comm.* 72.489,18: τοὐτ’ ἔστιν Orig. fr. 60a,3 **3** ἐπείγεσθαι om. Cyril, *Comm.* 72.489,19 **136, 1** Ἀπέθανεν] Ὃ ἀπέθανεν Orig. *Hom.* 14.83,1 **5** περιτμηθέντι] περιετμηθέντι Orig. *Hom.* 14.83,16–17

Οὐκ ἔδει γὰρ ἀπατηθῆναι, οὐδὲ ἀπὸ ἀνθρώπων πρῶτον δοξασθῆναι, ἀλλ’ ἀπὸ κρειττόνων παρὰ τὴν τῶν ἀνθρώπων φύσιν καὶ κληθῆναι τὸ προσκυνητὸν ὄνομα καὶ ἔντιμον καὶ *ὑπὲρ πᾶν ὄνομα.*

**137. f. 246r**

**Τίτου.** Μετὰ Ἰουδαίων δὲ περιτέμνεται, ἵνα τὴν συγγένειαν βεβαιώσῃ, ἵνα μὴ ἀρνήσωνται αὐτόν· ἐκ σπέρματος γὰρ Δαβὶδ προσεδοκᾶτο, ἔδειξε τοίνυν τὸ τεκμήριον τῆς συγγενείας. Εἰ γὰρ καὶ περιτμηθέντος αὐτοῦ ἔλεγον· *οὐκ οἴδαμεν πόθεν ἐστίν;* εἰ μὴ περιετμήθη κατὰ σάρκα καὶ τὸν νόμον ἐφύλαξεν. Ἔσχεν ἂν πρόφασιν αὐτῶν ἡ ἄρνησις. Αὐτὴ δὲ ἡ περιτομὴ καὶ τὸ Σάββατον καταργεῖ· ἐὰν γὰρ ἀπαντήσῃ ἡ ὀγδόη εἰς τὸ Σάββατον, λύεται τὸ Σάββατον καὶ βεβαιοῦται ἡ ὀγδόη.

**138. f. 246r**

Τί δήποτε, ἐπειδὴ ἔμελλεν ἡ ὀγδόη ἀνάστασις Κυριακὴ περιτομὴ εἶναι παντὸς τοῦ κόσμου.

**139. f. 246r**

Διὰ τοῦτο οὐκ ἐν ἕκτῃ ἢ ἐννάτῃ ἐκέλευσεν γενέσθαι τὴν περιτομήν, ἀλλ’ ἐν τῇ ὀγδόῃ· ἐν γὰρ τῇ ἀναστάσει Χριστοῦ γέγονε περιτομὴ παντός κοσμικοῦ πάθους, εἰς ἣν ὁ μὴ πιστεύων περιτεμνόμενος δὲ σαρκὶ ὅμοιός ἐστιν ζώῳ, σφραγίδα ἔχοντι ἐξ ἧς οὐδὲν ὠφελοῦνται, ὥσπερ οὐδὲ τὸ ἄλογον παιδίον ἐκ τῆς ἐν σαρκὶ περιτομή. Οἱ δὲ λογικοὶ δεχόμενοι τὴν περιτομὴν ἐν τῇ ἀπεκδύσει τῆς σαρκὸς ἐν τῷ βαπτίσματι, ὅπέρ ἐστιν τύπος τῆς Χριστοῦ ἀναστάσεως, οὗτοι τὴν ἀληθῆ γνώσιν λαβόντες ὠφελοῦνται τῇ περιτομῇ [..]λόγῳ γινομένῃ ἐν τῇ ἐκκλησίᾳ περιτεμνούσῃ πᾶσαν ἁμαρτίαν ἐν τῷ λουτρῷ, ὀγδόη οὖν ἡ περιτομή, ὀγδόη καὶ ἡ ἀνάστασις, ἧς τύπος τὸ βάπτισμα.

**137, 1–6** Μετὰ…ὀγδόη[2] Titus 149,1–7 | Zac. 081-3; Vat. Pal. gr. 273, f. 3v **138, 1–2** Τί…κόσμου Editionem non inveni | Zac. 081-3; Vat. Pal. gr. 273, f. 3v **139, 1–9** Διὰ…βάπτισμα fontem non inveni

**13** ἀπατηθῆναι…δοξασθῆναι] ἀπ’ ἀνθρώπων πρῶτον κληθῆναι οὐδὲ ἀπ’ αὐτῶν δοξασθῆναι Orig. *Hom.* 14.84,20–21 **137, 1** Μετὰ Ἰουδαίων δὲ περιτέμνεται] Περιτέμνεται μετὰ Ἰουδαίων Titus 149,1 **2** προσεδοκᾶτο] ὁ Χριστός add. Titus 149,3 | τοίνυν om. Titus 149,3 **3** οὐκ οἴδαμεν] τοῦτον οὐκ οἴδαμεν Titus 149,4 **4** πρόφασιν] εὔλογων add. Titus 149,6 **5–6** Αὐτὴ…ὀγδόη[2] om. Titus 149,7

### 140 f. 246r

**Κυρίλ(λου)**. Περιτέμνεται οὖν τῆς τοῦ νόμου κατάρας ἡμᾶς ἐκπριώμενος· *ἦμεν γάρ,* φησίν ὁ Παῦλος, *ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου δεδουλωμένοι.* Ἐξεπρίατο δὲ πῶς; Πληρώσας αὐτόν. Καὶ καθ’ ἕτερον δὲ τρόπον· ἵνα λύσῃ τῆς ἐν Ἀδὰμ παραβάσεως τὸ ἔγκλημα, εὐπειθῆ πρὸς πᾶν ὁτιοῦν ἑαυτὸν παρ[α]στήσας ὑπὲρ ἡμῶν τῷ [Θεῷ] καὶ Πατρί. Γέγραπται γάρ, [ὅτι] *ὥσπερ διὰ τῆς παρακ[ο]ῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κ[α]τασταθήσονται οἱ πολλοί.*

### 141. f. 246r–246v

**Σευήρου ἀπὸ ἐπιστολῆς πρὸς Καισαρίαν Πατρικίαν**. Τῇ ὀγδόῃ, ἐν ᾗ σύνηθες ἦν τὴν ἐν σαρκὶ περιτομὴν τελεῖσθαι. Δέχεται τὸ ὄνομα τὸ Ἰησοῦς, ὃ ἑρμηνεύεται Σωτηρία λαοῦ· οὐ γὰρ εἰς τὴν τοῦ πράγματος φύσιν ουδέν, ἀλλὰ παντὸς ἔθνους

---

**140, 1** Περιτέμνεται…ἐκπριώμενος Cyril, *Comm.* 72.496,26; Cyril, *Hom.* 77,1041,25–26 **1–2** ἦμεν…δεδουλωμένοι Cyril, *Comm.* 72.496,20; Cyril, *Hom.* 77,1041,20–21 | Zac. 081-4; Vat. Pal. gr. 273, f. 3v **2–7** Ἐξεπρίατο…πολλοί Cyril, *Comm.* 72.496,28–35; Cyril, *Hom.* 77,1041,27–33 | Zac. 081-4; Vat. Pal. gr. 273, f. 3v **141, 1–10** Τῇ…μολυσμόν Cyril, *Comm.* 72.496,38–497,26 | Zac. 081-4; Vat. Pal. gr. 273, f. 3v

---

**140, 1** Περιτέμνεται…ἐκπριώμενος] Οὐκοῦν τῆς τοῦ νόμου κατάρας ἐξεπρίατο Χριστὸς Cyril, *Comm.* 72.496,26; Cyril, *Hom.* 77,1041,25–26 **1–2** ἦμεν…Παῦλος] διδάξει λέγων ὁ σοφώτατος Παῦλος· ὅτε ἦμεν νήπιοι Cyril, *Comm.* 72.496,20–21; διδάσκει λέγων ὁ σοφώτατος Παῦλος· ὅτε ἦμεν νήπιοι Cyril, *Hom.* 77,1041,20–21 **2** κόσμου] ἦμεν add. Cyril, *Comm.* 72.496,22; Cyril, *Hom.* 77,1041,21 **3–4** τὸ ἔγκλημα] τὰ ἐγκλήματα Cyril, *Comm.* 72.496,30; Cyril, *Hom.* 77,1041,29 **4** εὐπειθῆ] καὶ εὐήνιον add. Cyril, *Comm.* 72.496,30; Cyril, *Hom.* 77,1041,29–20 | παραστήσας] παρέστησεν Cyril, *Comm.* 72.496,31 **141, 1** Τῇ ὀγδόῃ] Ἐνστάσης δὴ οὖν τῆς ὀγδόης Cyril, *Comm.* 72.496,38–39 **2** περιτομὴν τελεῖσθαι] τελεῖσθαι περιτομὴν Cyril, *Comm.* 72.496,39–40 **2–3** Δέχεται…λαοῦ] Δέχεται καὶ τὸ ὄνομα, τουτέστι τὸ, Ἰησοῦς· ἑρμηνεύεται δὲ τοῦτο, Σωτηρία λαοῦ Cyril, *Comm.* 72.496,42–43 **3–4** οὕτω γὰρ ἠθέλησεν ὁ Θεὸς καὶ Πατὴρ ὀνομάζεσθαι τὸν ἴδιον Υἱὸν γεννηθέντα κατὰ σάρκα ἐκ γυναικός· γέγονε γὰρ τότε σωτηρία λαοῦ, καὶ οὐχ ἑνὸς, μᾶλλον δὲ παντὸς ἔθνους, καὶ πάσης τῆς ὑπ’ οὐρανόν· ἐν ταὐτῷ τοιγαροῦν τὸ τῆς περιτομῆς ἐτελεῖτο χρῆμα, καὶ τὴν κλῆσιν ἐδέχετο Cyril, *Comm.* 72.496,43–497,2

ἐγέν[ετο]. Εἰ δὲ καὶ μηδέν ἐστιν [πε]ριτομὴ κατὰ τὸν ἀπό[στο]λον, ὅσον γὰρ εἰς τὴν τοῦ πράγματος φύσιν οὐδέν, ἀλλὰ τύπον μυστηρίου ὠδίνει· κατὰ γάρ τοι τὴν ὀγδόην ἡμέραν ἀνέστη [Χριστὸς] ἐκ νεκρῶν, καὶ δέδω[κεν] ἡμῖν τὴν ἐν πνεύματι [περιτο]μὴν τὴν [τοῦ ἁγίου] βαπτίσματος, [....] [ἀρ]χαῖος [....] γὰρ τ[...] καθίσας πε[ριέτεμε αὐ]τὸν μαχαίραις πέτρι[ναις]. Οὐκοῦν ὅτε διαβῶμ[εν τὸν] Ἰορδάνην διὰ τοῦ βαπτίσματος, τότε Χριστὸς ἡμᾶς περιτέμνει τῇ δυνάμει τοῦ Πνεύματος· οὐ σάρκα καθαίρων, ἀποκείρων δὲ τὸν ἐν ψυχαῖς μολυσμόν. (246v) [Δεί]λαιοι δὲ [....] περικλείειν εἰς ἀπορίαν ἡμᾶς, γέγονεν φασὶν ἡ ἀκροβυστία αὐτοῦ, τὸ γὰρ πε[ρὶ] τούτου κατέλιπεν ἡ γρα[φ]ή, οὐκ ἴσασι δὲ ὅτι τὸ τῶν ἀδήλων καταστοχα[ζ]εσθαι, λίαν ἐπικίνδυνον· πολλάκις γὰρ καί τι θεοπρεπὲς θαῦμα περὶ τὸ ἀποτμηθὲν μόριον [γέ]γονεν, πρόδηλον δὲ ἐκείνο πάντως, ὡς ἀναστὰς ἐκ νεκρῶν ἔσχε, καὶ αὐτὸ καθὰ δὴ μέρος ὑπάρ[χ]ον ὅλου τοῦ σώματος, ἀδι[άφ]θορον πρὸς τοὺτο φυ[λά]ξας αὐτὸ καθ’ οὓς οἶδεν [ἀρρ]ήτους λόγους αὐτός, καὶ [γὰρ] [κ]αὶ ἡμεῖς ἐν τῇ ἀνα[στά]σει τὸ σῶμα τὸ ἡμετέρον πλῆρες ἀποληψόμεθα, [τ]ὴν ἐκ τῶν τραυμάτων [ἢ] ἄλλων παθῶν μείωσιν [οὐκ] ἔχον, ἀλλ’ ὑγιὲς καὶ ὁλόκληρον, οὓς ἐρέσθαι χρὴ [εὐσε]βοῦντας καὶ νομίζον[τας ἐκφοβ]εῖν τοὺς ὀρθῶς [πρός τὸ τὰ ἀληθῆ μὴ] ὁμολο[γεῖν τὸν Κύριον πεπον]θέναι [σαρκί· τὶ φασὶν αὐτοὶ π]ερὶ [τοῦ ὕδατος, ὅπερ ἐκ] τῆς [ἀχράντου] προῆλθε πλευρᾶς συμμιγέν, ἄ[ρα εἰς] γὴν ἠνέχθη; Καὶ [γὰρ] οὐδὲ τοῦτο ὡμολογῆται [δι]ὰ τῆς ἱερᾶς τῶν εὐαγγελίων [γρ]αφῆς, ἀλλ’ αὐτοὶ μὲν τὸν [ἐπι]ζήμιον φοβηθήσονται φόβον, καὶ ἀκολούθως ἐροῦσιν δόξαι μόνον [ἀπορρυῆναι καὶ οὐκ ἀληθῶς] ῥεῦσαι [τὸ αἷμα]. Ἰωάννης δὲ ὁ τῆς Κωνσταντινουπόλεως ἐν τῷ *εἰς τὸν σταυρὸν καὶ εἰς τὸν ληστὴν* λόγῳ φησίν· ἐφ’ ὑψηλοῦ τοῦ ἰκρίου σφάζεται καὶ οὐχ’ὑπὸ στέγην, ἵνα τοῦ ἀέρος τὴν φύσιν καθάρῃ οὐκ ἐπικειμένης στέγης, ἀλλ’ ἐπικειμένου τοῦ οὐρανοῦ.

---

**10–27** Δείλαιοι…οὐρανοῦ Editionem non inveni | Zac. 082-1; Vat. Pal. gr. 273, f. 4r

---

**4–8** Εἰ…πέτριναις] Καὶ τί τὸ αἴνιγμα, φέρε δὴ πάλιν ἴδωμεν. Ὁ μακάριος ἔφη Παῦλος· Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν. Ἆρ’ οὖν τὸ μηδὲν τηρεῖσθαι προστέταχε διὰ τοῦ πανσόφου Μωϋσέως ὁ τῶν ὅλων Θεὸς, καὶ κόλασιν ἐπαρτήσας τοῖς παραβαίνουσιν αὐτήν; Ναὶ, φαίην ἄν· ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν τοῦ πράγματος φύσιν, οὐδέν ἐστιν παντελῶς· ὠδίνει δὲ μυστηρίου τύπον· κατὰ γὰρ τὴν ὀγδόην ἡμέραν ἀνεβίω Χριστὸς ἐκ νεκρῶν, καὶ δέδωκεν ἡμῖν τὴν ἐν πνεύματι περιτομήν. Προστέταχε γὰρ τοῖς ἁγίοις ἀποστόλοις, «Πορευθέντες μαθητεύ- σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τελεῖσθαι δέ φαμεν τὴν ἐν πνεύματι περιτομὴν ἐν καιρῷ μάλιστα τοῦ ἁγίου βαπτίσματος, ὅτε καὶ μετόχους ἡμᾶς ἀποφαίνει Χριστὸς τοῦ ἁγίου Πνεύματος. Καὶ τούτου πάλιν εἰς τύπον ἦν ὁ ἀρχαῖος ἐκεῖνος Ἰησοῦς, ὁ μετὰ Μωϋσέα στρατηγήσας· διεβίβασε γὰρ πρότερον τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραήλ· εἶτα καθίσας εὐθὺς μαχαίραις περιέτεμε πετρίναις Cyril, *Comm.* 72.497,6–23 **8–9** διὰ τοῦ βαπτίσματος om. Cyril, *Comm.* 72.497,24 **9** τοῦ$^{2}$] ἁγίου add. Cyril, *Comm.* 72.497,25 **10** δὲ$^{1}$] μᾶλλον add. Cyril, *Comm.* 72,497,26

**142. f. 246v**

Ἐκαθαίρετο μὲν γὰρ ἀὴρ ἐφ’ ὑψηλοῦ θυομένου τοῦ προβάτου· ἐκαθαίρετο δὲ καὶ ἡ γῆ· ἔσταζεν γὰρ τὸ αἷμα ἀπὸ τῆς πλευρᾶς ἐπ’ αὐτὴν καθαίρων αὐτήν, ὥστε εἰ καὶ κατὰ τοῦτον τὸν λόγον ἡ περιτμηθεῖσα ἀκροβυστία τῆς γῆς ἔψαυσεν, ἡγίασεν πάντως αὐτήν, καὶ οἷς οἶδε λόγοις, ἐφύλαξεν αὐτὴν πάντως, καὶ κατὰ τὸν καιρὸν τῆς ἀναστάσεως, οὐδὲ γὰρ κατὰ τοῦτο ἐλλιπῶς ἔχων, ἀνέστη πλήρης καὶ ἄφθαρτος ὅλῳ τῷ σώματι, τοὺς τύπους μέντοι τῶν ἥλων καὶ τῆς λόγχης δεικνύς, ἐν οἷς καὶ ὀφθήσεται ὑπὸ τῶν ἐκκεντησάντων.

**143. f. 246v**

Ζητεῖται δὲ πῶς ὁ μὲν Ματθαῖος μετὰ τὴν γέννησιν ἀπάγει αὐτὸν εἰς Αἴγυπτον, ὁ δὲ Λουκᾶς εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, λεκτέον οὖν καὶ διετὴς ἤδη χρόνος παρεληλύθει ἀπὸ τῆς Ἰησοῦ γεννήσεως, ὡς φησὶ κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων, ἡνίκα ἀνηνέχθη εἰς Αἴγυπτον, Λουκᾶς δὲ ἅπερ ἐσιώπησεν ὁ Ματθαῖος διηγήσατο ἐντὸς γενόμενα τῶν δύο ἐτῶν.

**144. ff. 246v**

*Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ* φησίν. Τῇ τεσσαρακοστῇ ἡμέρα κάθαρσις ἐγίνετο κατὰ τὸν νόμον, ὅτι καὶ ἐν τεσσαράκοντα ἡμέραις ἡ διαμόρφωσις τοῦ ἄρσενος. Σημεῖον τοῦ τὴν πλάσιν αὐτὴν δεῖσθαι καθαρμοῦ τοῦ παρὰ θεοῦ, ἐπὶ δὲ Χριστοῦ ἡ πλάσις ἅγια οὐ γὰρ ἐξ ἀνθρωπίνων σπερμάτων, ἀλλ’ ἐκ θείας δυνάμεως. Ἅγιον δὲ καὶ *τὸ γεννώμενον*, ἀλλ’οὐχ ἁγιαζόμενον, καὶ ὥσπερ ἐβαπτίσθη μὴ δεόμενος τῆς δι’ ὕδατος καθάρσεως, ἀλλ’ ἵνα ἁγιάσῃ τὰ ὕδατα, οὕτω καὶ ὑπὲρ καθαρι-

**142, 1–2** Ἐκαθαίρετο…αὐτήν Chrysost. *De cruce et latrone* 49.400,36–38 **1–7** Ἐκαθαίρετο… ἐκκεντησάντων Zac. 082-1; Vat. Pal gr. 273, f. 4r **2–6** ὥστε…σώματι Cramer 2.22,18–23 **2–7** ὥστε…ἐκκεντησάντων Editionem fontem inveni **143, 1–5** Ζητεῖται…ἐτῶν Editionem non inveni | Zac. 081-3; Vat. Pal. gr. 273, 3v **144, 1** Ὅτε…φησίν Titus 151,1–2 **1–10** Τῇ… ὑπόστασις Titus 151,7–21 | Zac. 083-1; Vat. Pal. 273, f. 4r

**142, 2** καθαίρων αὐτήν om. Chrysost. *De cruce et latrone* 49.400,38 **143, 1** Ζητεῖται… γέννησιν] ἔσταζεν M: ἔσταζε Chrysost. *De cruce et latrone* 49.400,38 **144, 1** φησίν om. Titus 151,2 **1–2** Τῇ…ἐγίνετο] κάθαρσις ἐγίνετο τῇ τεσσαρακοστῇ ἡμέρα Titus 151, 7–8 **3** ἄρσενος] ἄῤῥενος Titus 151,9 **4** οὐ γὰρ] οὐκ Titus 151,11 **5** ἁγιαζόμενον] καθαῖρον, οὐ καθαιρόμενον add. Titus 151,13 **6** ὕδατα] καὶ πληρώσῃ πᾶσαν δικαιοσύνην ὑπακούων προφήτῃ add. Titus 151,15–16

σμοῦ αὐτοῦ προσφέρεται τοῦ μὴ δεομένου καθάρσεως τρυγώνες καὶ περιστεραί, σημεῖον ἀφελοῦς καὶ σώφρονος τρόπου, ἃ ἐπὶ μὲν ἀνθρώπων τύποι, ἐπὶ δὲ Χριστοῦ ἀλήθεια· αὐτὸς γὰρ ἡ τῆς ἀληθινῆς σωφροσύνης δύναμις καὶ τῆς ἀληθινῆς ἀφελείας ὑπόστασις. Καθαρισμὸν οὖν ὁμωνύμως αἰνίττεται ὁ Λουκᾶς.

### 145. f. 247r

[.]άσ[.]δύα[...] γὰρ ὁ ἐκ τῆς [...ρο] γάμου τόκος, δι' ὃ οὐδ' ἀνάγκην εἶχεν ἡ παρθένος τούτου φησὶ γὰρ ὁ νόμος· γυνὴ ἥ τις σπερματισθῇ καὶ οὐ πᾶσα καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔστω, ὡς οὖν ἐκ σπέρματος τοῦ θείου συστάντος σώματος ἐν τῇ ἁγίᾳ παρθένῳ, οὐκ ἀνάγκη ταῦτα συνήρχετο, ἀλλ' ἵνα ὁ νόμος πληροῦτο τῷ λόγῳ τοῦ τοκετοῦ. Εἰ δὲ ἔκειτο ὑπὲρ *τοῦ καθαρισμοῦ* Μαρίας μόνης, οὐδὲν ἐζητοῦμεν.

### 146. f. 247r

Νυνὶ δὲ *τοῦ καθαρισμοῦ αὐτῶν* φησιν. Ἆρ' οὖν καὶ Ἰησοῦς δεῖται καθαρισμοῦ; Ἀλλ' ὅρα τὸ τόλμημα τοῦ λόγου· μνήσθητι τῶν εἰρημένων ἐν τῷ Ἰὼβ μυστικῶς· *οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ἐπὶ τῆς γῆς*· οὐκ εἶπεν· ἀπὸ ἁμαρτίας, ἀλλ'· *ἀπὸ ῥύπου*. Ὅτι καὶ οὐ ταὐτά, λέγει Ἡσαίας· *ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν*· ἐρρύπωται οὖν πᾶσα ψυχὴ ἐνδεδυμένη σῶμα ἀνθρώπινον. Ἄκουε Ζαχαρίου· *Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά*. Τὸ δὲ ῥητὸν χρήσιμον καὶ πρὸς τοὺς λέγοντας, ὅτι ὁ σωτὴρ οὐκ ἔλαβε σάρκα ἀνθρωπίνην, ἀλλ' ἤνεγκεν ἀπὸ τοῦ οὐρανοῦ πνευματικὸν σῶμα τὸ πνευματικὸν [σῶμα] ἐρρυπωμένον [νομίζοντας. Ἐπεὶ] γὰρ λέγειν δυνήσονται ταῦτα καὶ τοῦτο παραδέξονται, ὅρα αὐτοὺς λέγειν, ὅτι ἐν ταῖς ἐπαγγελίαις, ὅταν πληρωθῇ τό· *σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν*, ἐγειρόμεθα ἐρρυπωμένοι, ὅπερ ᾖει λέγειν.

---

**145, 1–5** ἀσδύα…τοκετοῦ fontem non inveni **5** Εἰ…ἐζητοῦμεν Orig. *Hom.* 14.85,5–6 **146, 1–12** Νυνὶ…λέγειν Orig. *Hom.* 14.85,7–87,12

---

7 προσφέρεται τοῦ μὴ δεομένου] τοῦ μὴ δεομένου καθάρσεως προσφέρονται Titus 151,16–17 | τρυγώνες] τρυγόνες Titus 151,17 **8** ἃ] ταῦτα οὖν Titus 151,18 | ἀνθρώπων] σκιαὶ καὶ add. Titis 151,19 **146, 12** ᾖει] μὴ δεῖ Orig. *Hom.* 14.87,12

## 147. f. 247r

Ἐδεήθη οὖν ὁ σωτήρ, ὡς *ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ* τὸ σῶμα τὸ ἀνθρώπινον καὶ γήϊνον, τοῦ προσενεχθῆναι καὶ περὶ αὐτοῦ καθαρισμόν. Τὰ παιδία βαπτίζεται *εἰς ἄφεσιν ἁμαρτημάτων*. Ποίων; Πότε γὰρ ἥμαρτον; Ἀλλὰ μήποτε, ἐπεὶ *οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου*, τὸν ῥύπον δὲ ἀποτίθεταί τις διὰ τοῦ μυστηρίου τοῦ βαπτίσματος, διὰ τοῦτο καὶ τὰ παιδία βαπτίζεται. Μυστικῶν δὲ *ἡμέραι* πληρούμεναι· οὐ γὰρ ἅμα τῇ γενέσει τὸν καθαρισμόν, ἀλλ’ ὥσπερ γέγραπται ἐν τῷ νόμῳ· *ὅτι ἐὰν τεχθῇ ἄρσεν, ζ´ ἡμέρας καθιεῖται ἐν αἵματι ἀκαθάρτῳ, εἶτα τριάκοντα τρεῖς ἐπὶ αἵματι καθαρῷ* καὶ αὕτη καὶ τὸ παιδίον, οὕτως, εἶπεν *ὁ νόμος σκιὰν ἔχων τῶν μελλόντων ἀγαθῶν*, ἔστιν ἰδεῖν καθαρισμὸν γινόμενον ὕστερόν ποτε· τάχα δὲ ἐὰν ἀναστῶμεν ἐκ νεκρῶν, δεόμεθα τοῦ μυστηρίου τοῦ καθαίροντος ἡμᾶς, [..]θαυμάζου[..], εἴ τις ἀνίσταται παντὸς ῥύπου καθαρεύων· ἐν [τῇ] παλιγγενεσίᾳ οὖν τα [ύτῃ] τοιοῦτόν τι ἔσται μυστήρ[ιον] καθαρισμοῦ, ὅπερ ἐποίησεν ὁ Ἰησοῦς ἐπὶ τῆς γενέσεως αὐτοῦ. Τὰ οὖν ἀρσενικὰ ἅγια ὄντα μήτραν ἀνοίγοντα ἔδει ἀναφέρεσθαι κυρίῳ παρὰ τῷ θυσιαστηρίῳ, μόνος δὲ Χριστὸς διήνοιξεν μήτραν ἐκ παρθένου τεχθείς· οὐδὲν γὰρ ἄλλο πρὸ τοῦ Χριστοῦ τῆς μήτρας ἐκείνης τῆς ἱε[ρᾶς] ἥψατο· πάντων [δὲ τὰ] πρωτότοκα, εἰ καὶ [πρω]τότοκά ἐστιν, ἀλλ’ οὐ [δια]νοίγουσιν αὐτὰ πρῶ[τα] τὴν μήτραν, ἀλλ’ ὁ σύμβ[ιος].

## 148. ff. 247r–247v

Ἀλλὰ τίνα τὰ τῶν ἀντι[λε]γόντων, εἰ εἰς τὸν Κύριον [...] ἔχει τὴν ἀναφορὰν τό· *[πᾶν] ἄρσεν δια[νοῖγον μήτραν] ἅγιον τῷ Κυρίῳ κλη[θήσεται]*, οὐκ ἔμ[εινεν ἡ παρθένος παρθένος]. [Ἐφώνησε] γὰρ [ἡ γραφὴ ὅτι [*πᾶν ἄρσεν*] *διανοῖγον [μήτραν*· ἀνέ]ῳκτο οὖν αν[...] [ἡ παρ]θενικὴ μήτρα· [....] ἐστιν ἀπαντῆσαι. [Πρὸς] μὲν τὴν παρθενικὴν φύσιν οὐδ’ ὅλως αἱ παρθενικαὶ πύλαι ἀνεῴ[χθη]σαν βουλήσει τοῦ κυοφορουμένου

---

**147, 1–17** Ἐδεήθη … σύμβιος Orig. *Hom.* 14.87,13–91,7 **148, 1–7** Ἀλλὰ … κεκλησμένη Amphilochius, *Orat.* 2, 66–74 **4–8** Πρὸς … ἠνέῳκται Euth. Zigab. *Comm.* 129.889,21–28

---

**147, 5** Μυστικῶν] Μυστικῶς Orig. *Hom.* 14.88,12 **6** τὸν καθαρισμόν] ὁ καθαρισμός Orig. *Hom.* 14.88,14 **8** εἶπεν] ἐπεὶ Orig. *Hom.* 14.88,22 | ἔχων] ἔχει Orig. *Hom.* 14.88,22 **13** ὄντα] ἅτε add. Orig. *Hom.* 14.89,24 **17** σύμβιος ἀμβ[ιος] M: σύμβιος corr. Orig. Hom. 14.91,7 **148, 1** Ἀλλὰ] Ἔστι δὲ πάντως εἰπεῖν Amphilochius, *Orat.* 2, 66 | εἰ … ἀναφορὰν] ὅτι εἰ τοίνυν εἰς τὸν κύριον τὴν ἀναφορὰν ἔχει Amphilochius, *Orat.* 2, 66–67 **2** ἄρσεν] *ἄρρεν* Amphilochius, *Orat.* 2, 67 **3–4** ἀνέῳκτο … ἀπαντῆσαι] ἀνέῳκτο πάντως ἡ παρθενικὴ μήτρα, εἰ εἰς τὸν κύριον τὴν ἀναφορὰν κέκτηται. Ἄκουε συνετῶς· Amphilochius, *Orat.* 2, 69–71 **5** αἱ … ἀνεῴχθησαν] ἠνεῴχθησαν αἱ παρθενικαὶ πύλαι Amphilochius, *Orat.* 2, 72 κυοφορουμένου] ἀρτίως κυοφορηθέντος Amphilochius, *Orat.* 2, 72–73

κατὰ τὸ φά[σκον] ῥητόν, *ἡ πύλη αὕτη κε(247v)κλεισμένη ἔσται, οὐδεὶς [εἰσ]έλθη δι᾽αὐτῆς εἰ μὴ Κύριος, [ἔσ]ται κεκλησμένη·* ὥστε [π]ρὸς τὴν δύναμιν τοῦ τε[χ]θέντος, οὐδὲν κέκλει[στ]αι αὐτῷ ὡς δεσπότῃ, [ἀ]λλὰ πάντα ἠνέῳκται.

**149. f. 247v**

Οὐχ ὅτι δὲ ὁ νόμος Μωσέως Κυρίου οὐκ ἦν νόμος· ὅσα γὰρ λαλεῖ προφήτης Πνεύματι ἁγίῳ, οὐκ αὐτὸς λαλεῖ, ἀλλ᾽ ὁ Κύριος ὑποβάλλει·

**150. f. 247v**

**Ὠρ(ιγένους)**. Ὡς ἐν δεσμωτηρίῳ ὢν τοῦ σώματος καὶ ὁρῶν, ὅτι οὐδεὶς αὐτὸν λύει ἀπ᾽ αὐτοῦ, ὥστε μετ᾽ ἐλπίδος ἀπολυθῆναι τοῦ κόσμου, ἢ ἐκεῖνος, ὃς αὐτὸν κατέσχεν *εἰς τὰς ἀγκάλας* αὐτόν, φησίν· *νῦν ἀπολύεις τὸν δοῦλόν σου κατὰ τὸ ῥῆμά σου.*

**151. f. 247v**

**Τ(οῦ) Χρ(υσοστόμου)**. Ῥῆμα τὸν χρηματισμὸν τοῦ ἁγίου πνεύματος, καὶ τὴν φωνὴν τὴν περὶ τούτου λέγων, οὐκ εἶπεν δὲ *κεχρηματισμένον διὰ πνέυματος ἁγίου*, ἵνα τὸν μὲν θεὸν χρηματίζοντα νοήσῃς, τὸ δὲ πνεῦμα ὑπουργοῦν, ἄλλ᾽ ὑπὸ τοῦ πνεύματος, ἐπεὶ γὰρ γέρων ὤν, ἔσπευδεν ἀναλῦσαι τοῦ βίου· παντὶ γὰρ δικαίως σκοπὸς ἐξελθεῖν τῶν ἀγώνων τοῦ κόσμου καὶ δέξασθαι τὸν στέφανον, τὸ πνεῦμα τὸ ἅγιον ὥσπερ μισθὸν τῆς καλῆς αὐτοῦ πολιτείας ἐπαγγελόμενον λέγει, οὐ πρότερον ὄψει θάνατον, ἐὰν μὴ ἴδῃς τὸν Χριστὸν γεννηθέντα καὶ λάβῃς καλὸν ἐφόδιον τῆς ἀναστάσεως.

---

**7–8** ὥστε…ἠνέῳκται Amphilochius, *Orat.* 2, 76–77 **149, 1–2** Οὐχ…ὑποβάλλει Chysost. *De occursu domini* [Sp.] 50.809,13–16 **150, 1–3** Ὡς…σου[2] Orig. *Hom.* 15.92,16–22 **151, 1–8** Ῥῆμα…ἀναστάσεως editionem non inveni

---

**6** φάσκον] περὶ αὐτοῦ add. Amphilochius, *Orat.* 2, 73 **6–7** ἡ…κεκλησμένη] Αὕτη ἡ πύλη τοῦ κυρίου, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ ἔσται ἡ πύλη κεκλεισμένη Amphilochius, *Orat.* 2, 73–74 **7** ὥστε] ὡς δὲ Amphilochius, *Orat.* 2, 76 **7–8** τεχθέντος] δεσπότου add. Amphilochius, *Orat.* 2, 77 **8** αὐτῷ ὡς δεσπότῃ] τῷ κυρίῳ Amphilochius, *Orat.* 2, 77 **149, 1** δὲ] καὶ Chrysost. *De occursu domini* [Sp.] 50.809,14 | Κυρίου οὐκ ἦν νόμος] οὐκ ἦν νόμος Κυρίου Chrysost. *De occursu domini* [Sp.] 50.809,14 **2** ἁγίῳ] διαλεγόμενος add. Chrysost. *De occursu domini* [Sp.] 50.809,16 **150, 2** ὃς αὐτὸν] ὃν αὐτὸς Orig. *Hom.* 15.92,20 **3** αὐτόν] αὐτοῦ Orig. *Hom.* 15.92,21

## 152. f. 247v

Ἐνταῦθα δεσπότης ἀποδέδεικται τὸ πνεῦμα καὶ κυριολογεῖται.

## 153. ff. 247v–248r

**Ὠρ(ιγένους)**. Καὶ ἴδε τὴν προσθήκην, τὸ *ἐν εἰρήνῃ·* οὐχ ἁπλῶς φησιν· ἀπολυθῆναι θέλων, ἀλλ’ *ἐν εἰρήνῃ* κατὰ τὸ λεχθὲν τῷ Ἀβραάμ· *ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ’ εἰρήνης*. Τίς δέ ἐστιν ὁ *μετ’ εἰρήνης* ἀπαλλασσόμενος ἢ ὁ νοήσας, ὅτι *θεὸς ἦν* (248r) [ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ καὶ μ]ηκέτι ἔργον [τ]ι ἔχθρας [ἔχων] πρὸς τὸν θεόν, ἀλλὰ π[ᾶσ]αν εἰρήνην ἀναλαβὼν δι’ ἔργων ἀγαθῶν.

## 154. f. 248r

**Τ(οῦ) Χρ(υσοστόμου)**. Σωτήριον δὲ ἡ Χριστοῦ παρουσία, ὡς ὁ προφήτης ἔλεγεν ἐκ προσώπου τοῦ θεοῦ· *ὡς λαμπὰς καυθήσεται.*

## 155. f. 248r

**Κυ(ρίλλου)**. *Ὃ ἡτοίμασας*, φησί, ἐπεὶ προητοίμαστο τὸ μυστήριον τῆς παρουσίας Χριστοῦ, καὶ πρὸ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς, γέγονε δὲ φῶς τοῖς ἐν σκότῳ, καὶ πεπλανημένοις ἔθνεσιν, ἃ κέκληνται παρὰ τοῦ Θεοῦ καὶ πατρός, εἰς ἐπίγνωσιν αὐτοῦ τοῦ υἱοῦ, ὅς ἐστιν φῶς ἀληθινό, ἀλλὰ καὶ εἰς δόξαν τοῦ Ἰσραήλ· εἰ γὰρ και τινες ἐξ αὐτῶν γεγόνασιν ἀπειθεῖς, ἀλλ’ οὖν σέσωστο τὸ κατάλειμμα, καὶ δεδόξα-

---

**152, 1** Ἐνταῦθα…κυριολογεῖται fontem non inveni **153, 1–5** Καὶ…ἀγαθῶν Orig. *Hom.* 15.93,1–16 **154, 1–2** Σωτήριον…καυθήσεται Σωτήριον…καυθήσεται editionem non inveni **155, 1–10** Ὃ…αὐτοῦ Cyril, *Hom.* 77.1045,39–48,1

---

**155, 1–10** Ὃ…αὐτοῦ] ὁ δέ γε μακάριος Συμεὼν, προφητικῇ χάριτι τετιμημένος, δέχεται μὲν εἰς ἀγκάλας αὐτόν· θυμηδίας δὲ τῆς ἀνωτάτω πιμπλάμενος, εὐλόγησε τὸν Θεὸν λέγων· νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Προητοίμασται γὰρ τὸ Χριστοῦ μυστήριον καὶ πρὸ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς· πεφανέρωται δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, γέγονε δὲ φῶς τοῖς ἐν σκότῳ, καὶ πεπλανημένοις, καὶ ὑπὸ χεῖρα πεσοῦσι διαβολικήν. Αὐτοὶ δὲ ἦσαν οἱ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύοντες, προσκυνοῦντες δὲ καὶ τῷ ἀρχεκάκῳ δράκοντι, καὶ τῇ τῶν δαιμόνων ἀκαθάρτῳ πληθύϊ τὴν τοῦ Θεοῦ δόξαν ἀνάπτοντες· ἀλλὰ κέκληνται παρὰ Θεοῦ Πατέρος πρὸς ἐπίγνωσιν τοῦ Υἱοῦ, ὅς ἐστι φῶς τὸ ἀληθινόν Cyril, *Hom.* 77.1045,39–48,1

σται διὰ Χριστοῦ, ὧν ἀπαρχὴ οἱ θεσπέσιοι μαθηταί, *δόξα δὲ καὶ ἑτέρους τοῦ Ἰσραὴλ* ὁ Χριστός, ὅτι προῆλθεν ἐξ αὐτῶν κατὰ σάρκα, ἐπὶ ποίοις δὲ *λαλουμένοις περὶ αὐτοῦ* ἐθαύμαζον Συμεὼν καὶ ἡ μήτηρ αὐτοῦ; Ἐπὶ τοῖς ὑπὸ τῶν ποιμένων ὑφ᾽ ὧν ἡ φήμη διέτρεχεν ὑπὸ τοῦ Συμεών, ὅτι ὁ Χριστὸς γεγέννηται, ἐπ᾽αὐτῷ τῷ εἰπεῖν· *νῦν ἀπολύεις*, ὃ ἦν ἡ κορωνὶς τῶν λαλουμένων περὶ αὐτοῦ.

**156. f. 248r**

Εἰς πατέρα δὲ τὸν Ἰωσὴφ θαυ[μαστῶς τίθησι, οὐ πατέρα] κηρυ[κεύων τοῦτο εἰπ]ών, ἀλλ᾽ ἐπ[ιπροφητεύει πε]ρὶ τοῦ παιδίου, εὐλογήσας τὸν πατέρα καὶ τὴν μητέρα, καί φησιν· *ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν*. Ὅμοιον δὲ αὐτῷ ἐστιν ἐν τῷ κατὰ Ἰωάννην τό· *εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται·* ὥσπερ οὖν *οἱ μὴ βλέποντες* ἀπὸ τῶν ἐθνῶν *βλέπουσι*, καὶ οἱ ἀπὸ τοῦ Ἰσραὴλ *τυφλοὶ γίνονται*, οὕτως ἦλθεν *εἰς πτῶσιν καὶ ἀνάστασιν* ἡμῶν. Οἱ γὰρ ἑστηκότες πεπτώκασι καὶ οἱ πεπτωκότες ἀνέστησαν Χριστοῦ ἐπιδημήσαντος. Ἔχει δὲ τοῦτο καὶ βαθυτέραν διήγησιν· ἔχω τι ἑστὸς ἐν ἐμοί· τοῦτο πεσέτω, *ὁ ἔσω ἄνθρωπος* πεπτωκώς μου ἦν, ὁ ἔξω ἄνθρωπός μου ἱστήκει. Πρὸ τῆς πίστεως τίνα εἴχομεν; τὸ κρεῖττον πεπτωκός, τὸ χεῖρον διεγηγερμένον. Ὅτε δὲ ἦλθεν Χριστός, τότε τὸ ἑστηκὸς πέπτωκέ μου τὸ χεῖρον· *νεκρώσατε*, φησί, *τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν* καὶ τὰ ἑξῆς. Ἐπεὶ δὲ πτῶμα γέγονεν, *ὅπου γὰρ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί*, καλὸν τοῦτο τὸ πτῶμα, ἐφ᾽ ᾧ ἦλθεν πρῶτος ὁ Ἰησοῦς.

**157. f. 248r**

[...] ἵνα [...]σήμου τὸ κρεῖττον. Καθαιρετικὴ γὰρ τῶν τοῦ σώματος παθῶν ἡ τοῦ Κυρίου ἐπιφάνεια, διεγερτικὴ δὲ τῶν τῆς ψυχῆς ἰδιωμάτων. κατὰ τὸ *ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι*, [ὁ] αὐτὸς ἀσθενὴς καὶ δυνατός, ἀλλ᾽ ἀσθενεῖ μὲν τῇ σαρκί,

---

7–**10** ἐπὶ…αὐτοῦ Orig. *Hom.* 16.95,20–96,7 **156, 1–14** Εἰς…Ἰησοῦς Orig. *Hom.* 16.96,8–99,26 **157, 1–2** Καθαιρετικὴ…ἰδιωμάτων Orig. *Hom.* 17.102,11–15 **1–9** Καθαιρετικὴ…ἀνίσταται Basil. Caesar. Epist. 260.7,4–15; *Chron. Pasch.* 383,10–384,3 **2–4** κατὰ…πνεύματι Orig. fr. 67a

---

**8** Συμεὼν] Ἰωσὴφ Orig. *Hom.* 16.95,21 **9–10** ὑπὸ…αὐτοῦ] ὅτι ὁ Χριστὸς γεγέννηται, καὶ ὑπὸ τοῦ Συμεῶνος Orig. *Hom.* 16.95,23–96,1 **156, 10** ἱστήκει] εἱστήκει Orig. *Hom.* 16.99,9 **10–11** διεγηγερμένον] διεγειγερμένον M **13** ᾧ] ὃ Orig. *Hom.* 16.99,26 **157, 1** γὰρ τῶν τοῦ σώματος] μὲν γάρ ἐστι τῶν σωματικῶν Orig. *Hom.* 17.102,11–12 Basil. Caesar. Epist. 260.7,4 παθῶν] ἐστιν add. Basil. Caesar. Epist. 260.7,5 **2** κατὰ τὸ] Ὅταν λέγῃ Παῦλος Orig. fr. 67a: Ὡς ὅταν λέγῃ ὁ Παῦλος Basil. Caesar. Epist. 260.7,6 **3** ἀσθενὴς καὶ δυνατός] ἀσθενεῖ, εἰ καὶ δυνατός ἐστιν Orig. fr. 67a: καὶ ἀσθενεῖ καὶ δύναται Basil. Caesar. Epist. 260.7,7–8

δυνατὸς δε ἐστι τῷ πνεύματι, οὕτω καὶ κύριος οὐχὶ τοῖς μὲν τοῦ [πί]πτειν τὰς ἀφορμὰ[ς πα]ρέχει, τοῖς δὲ τοῦ [ἀνίστασθαι]. Οἱ γὰρ πίπτοντες [ἀπὸ τῆς] στάσεως, ἐν ᾗ [ποτε ἦσαν], καταπίπτου[σι δηλονότι. Οὐ]δέποτε δὲ ἱστήκ[ει ὁ ἄπιστος] ἀεὶ συρόμενο[ς χαμαὶ μετὰ τοῦ ὄ]φεως, ᾧ συνέπ[εσεν. Πρ]ώτη δὲ εὐεργεσία [τὸν στή]κοντα τῇ ἁμ[αρτίᾳ πε]σεῖν καὶ ἀποθανεῖν, [εἶτα] ζῆσαι [τῇ δικαιοσύνῃ] [..ὰν οὐ....] οὐκ ἀ[νίσταται].

## 158. ff. 248r–248v

[Κυρίως σημεῖον ἔ]γνωμεν πα[ρὰ τῇ Γραφῇ τὸν] σταυρόν. Ἔθη[κε γὰρ Μω]υσῆς τὸν ὄφιν ἐπὶ [σημείου], τουτέστιν ἐπὶ σταυροῦ, [ὅ ση]μειόν ἐστιν τινὸς πράγματος ἀφανοῦς ἐνδεικτικόν, ὁρώμενον μ[ὲν] [ἁ]πλῶς, νοούενον δὲ παρὰ τῶν ἐντρεχῶν τὴν διά(248v)[νοιαν. [.................] αὐτὸν, καὶ οἱ μὲν πα[θη]τὸν ἐσχηκέναι τὸ σῶμα, [οἱ δ]ὲ φαντασίαν αὐ[τῷ] πληροῦν δογματίζουσιν, καὶ ἄλλοι χοϊκόν, ἄλλοι δὲ ἐπουράνιον, καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι, διὰ τοῦτο *εἰς σημεῖον ἀντιλεγόμενον*.

## 159. f. 248v

Ἀντιλέγεται δὲ οὐ [.] αὐτὸς ὁ σταυρός, ἀλλ᾽ ὁ ἐσταυρωμένος, εἰ δὲ καὶ τὸ τοῦ σταυροῦ [.....] ἀντιλέγεται, ἰου[.....] ἀντιλέγουσι τῷ [.....] ὡς πρωτότυπον [.....] ἀλλὰ διὰ τὸν [σταυρ]ωθέντα.

---

**4–5** οὕτω…ἀνίστασθαι οὕτω…[ἀνίστασθαι] Orig. fr. 67b **5–7** Οἱ…συνέπεσεν Orig. fr. 67c **7–9** Πρώτη…ἀνίσταται Orig. *Hom* 17.103,10–12 **158, 1–7** Κυρίως…ἀντιλεγόμενον Basil. Caesar. Epist. 260.8,1–14 | Cramer 2.24,9–17; *Chron. Pasch.* 384,5–16 **4–7** καὶ… ἀντιλεγόμενον Orig. fr. 68,3–6 **159, 1–3** Ἀντιλέγεται…σταυρωθέντα fontem non inveni

---

**4** οὕτω καὶ] οὕτως καὶ ὁ Orig. fr. 67b: οὕτω καὶ ὁ Basil. Caesar. Epist. 260.7,9 **6** ἱστήκει] εἱστήκ[ει Orig. fr. 67c; Basil. Caesar. Epist. 260.7,12 | ἀεὶ om. Orig. fr. 67c **7** συρόμενος χαμαὶ] χαμαὶ συρόμενος Orig. fr. 67c; Basil. Caesar. Epist. 260.7,12–13 | ᾧ συνέπεσεν om. Basil. Caesar. Epist. 260.7,13 | Πρώτη δὲ] Ὡς πρώτη Basil. Caesar. Epist. 260.7,14 **8–9** εἶτα… ἀνίσταται] εἶτα ζῆσαι τῇ δικαιοσύνῃ καὶ ἀναστῆναι Orig. *Hom.* 17.103,11–12; Basil. Caesar. Epist. 260.7,15–16 **158, 1** σταυρόν] εἰρημένον add. Basil. Caesar. Epist. 260.8,2 | Μωυσῆς] Μωσῆς, φησί Basil. Caesar. Epist. 260.8,3 **2–3** τινὸς πράγματος ἀφανοῦς] παραδόξου τινὸς καὶ ἀφανοῦς πράγματος Basil. Caesar. Epist. 260.8,4–5 **3** ἁπλῶς] παρ᾽ αὐτῶν Basil. Caesar. Epist. 260.8,5 **5** φαντασίαν…δογματίζουσιν] φαντασίᾳ τινὶ τὴν διὰ τοῦ σώματος οἰκονομίαν πληροῦν Orig. fr. 68,4; Basil. Caesar. Epist. 260.8,10–11 **5–6** σῶμα add. Orig. fr. 65,5; Basil. Caesar. Epist. 260.8,12 **6** Μαρίας] τῆς παρθένου Orig. fr. 68,5–6 **7** εἰς] εἶναι Orig. fr. 68,6

## 160. f. 248v

*Καὶ [σοῦ δὲ αὐτῆς] τὴν ψυχὴν διε[λεύσεται ῥομφαί]α*. Φαίνεται, [ὅτι περὶ τὸν] καιρὸν τοῦ πά[θους πάντες] ἐσκανδαλί[σθησαν· καὶ γὰρ αὐτὸς] εἶπεν, [ὅτι· *πάντες] σκαν[δαλισθήσεσθε ἐν ἐμοί*]. Ἆρ’ [οἰόμεθα ὅτι μόνη] ἀπὸ [σκανδάλου καθαρὰ ἦν ἡ Μ]αρία; [εἰ δὲ πάν]τες ὑστε[ροῦνται τῆ]ς δόξης τοῦ [θεοῦ δικαιούμενοι ...] τῇ [αὐτοῦ χάριτι...]. Προφητεύει οὖν ὁ Συμεὼν καὶ περὶ αὐτῆς τῆς ἁγίας παρθένου Μαρίας, ὅτι· παρεστῶσα τῷ σταυρῷ καὶ βλέπουσα τὰ γενόμενα καὶ ἀκούουσα τῶν φωνῶν τῶν φονευτῶν,] μετὰ τὴν τοῦ Γαβριὴλ μαρτυρίαν, μετὰ τὴν ἀπόρρητον γνῶσιν τῆς θείας συλλήψεως, γενήσεταί τις περὶ τὴν σὴν ψυχὴν σάλος ἐν διακρίσει, ἐπὰν ἴδῃς τὸν τηλικοῦτον σταυρούμενον καὶ θάνατον ἀνθρώπινον ἀναδεχόμενον. *Ὅπως ἂν ἀποκαλυφθῶσιν διαλογισμοί·* διαλογισμοὶ ἦσαν πονηροὶ ἐν τοῖς ἀνθρώποις τούτοις· τότε ἀπεκαλύφθησαν, ἵνα ἀποκαλυφθέντας αὐτοὺς ἀφανίσῃ ὁ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἀποθνῄσκων. Ὅσον γὰρ ἦσαν κεκρυμμένοι, οὐχ οἷόν τε ἦν αὐτοὺς ἀφανισθῆναι τέλεον· διὰ τοῦτο καὶ ἡμεῖς ἐὰν ἁμαρτήσωμεν, κελευόμεθα λέγειν· *τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα*. Αἰνίττεται δέ, ὅτι μετὰ τὸν σκανδαλισμὸν τὸν ἐπὶ τῷ σταυρῷ γενόμενον τοῖς μαθηταῖς καὶ τῇ Μαρίᾳ ταχεῖά τις ἴασις ἐπακολουθήσει, βεβαιοῦσα αὐτῶν τὴν καρδίαν εἰς τὴν ἐπ’ αὐτὸν πίστιν· οὕτω γὰρ καὶ Πέτρον ἀντισχόμενον ἴδομεν τῆς εἰς Χριστὸν πίστεως· ὡς εἰ[...] ὁ εὐαγγελιστὴς πᾶσι παρηκολουθηκέναι οὔτε τὸ τῆς Ἄννης παρεσιώπησε πρόσωπον. Καὶ ἡ τάξις δὲ ἀ⟨μώμητος⟩· οὐ πρώτη γὰρ τοῦ ἀνδρὸς ἡ γυνή, ἀλλὰ πρῶτος ὁ Συμεὼν [παρ]εισάγεται.

## 161. f. 248v

Οὐκ οὖν ἐγέγ[ραπτο] δὲ αὐτῆς κα[τὰ λ]έξιν [ὁ λόγος, ἀλλ’ ὅ]τι ἐξομολόγει [τῷ θεῷ καὶ ἐλάλει] περὶ αὐτοῦ. [Ἔοι]κε δέ γε δικαίως γεγ[ονέ]ναι προφῆτις, τοῦ ἁγίου πνεύματος χώραν δυνηθέντος εὑρεῖν ἐν αὐτῇ διὰ τὴν ἁγνείαν καὶ τὴν καθαρότητα·

---

**160, 1** Καὶ…ῥομφαία Orig. *Hom.* 17.105,11–12 **1–8** Φαίνεται…συλλήψεως Orig. *Hom.* 17.106,3–23 **8–14** γενήσεταί…ἐκάλυψα Orig. *Hom.* 107,3–107,26 **14–16** Αἰνίττεται…πίστιν Orig. fr. 71a **16–17** οὕτω…πίστεως Orig. fr. 71b **17–18** ὡς…πρόσωπον Orig. fr. 72,1–2 **18–20** Καὶ…παρεισάγεται Orig. *Hom.* 17.108,11–13 **161, 1–8** Οὐκ…θεοῦ Orig. *Hom.* 17.108,17–109,34

---

**160, 8** ἐν διακρίσει] καὶ ἅψεταί τις διάκρισις, τοῦτ’ ἔστιν ἡ ῥομφαία Orig. *Hom.* 17.107,4–5 **14** μου] ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου add. Orig. *Hom.* 17.107,25–26 **16** οὕτω] οὕτως Orig. fr. 71b **17** ἴδομεν] εἴδομεν Orig. fr. 71b | εἰ] ἀπαραλείπτως ὑποσχόμενος Orig. fr. 72,1 **18** πᾶσι παρηκολουθηκέναι οὔτε] πάντα εἰπεῖν οὐδὲ Orig. fr. 72,1 **161, 1** ἐξομολόγει] ἐξωμολόγει Orig. *Hom.* 17.108,18–19

ἔτι γὰρ *ἑπτὰ ζήσασα ἔτη ἀπὸ τῆς παρθενίας αὐτῆς μετὰ ἀνδρός*, διὰ τοῦτο γέγονε προφῆτις· οὐ γὰρ ὡς ἔτυχεν τὸ ἅγιον πνεῦμα ᾤκησεν ἐν αὐτῇ. Καλὸν μὲν γὰρ εἴ τις δύναται παρθενεύειν· εἰ δὲ μὴ δύναται τοῦτο, χηρευσάτω, ἐὰν συμβῇ τι ἀνθρώπινον, καὶ ἐχέτω τοῦτο πρὸ ὀφθαλμῶν καὶ μετὰ ἀνδρὸς οὖσα, ὥστε τὴν παρθενίαν αὐτῆς δικαιωθῆναι ἐνώπιον τοῦ θεοῦ.

## 162. f. 248v

Διὰ δὲ τοῦ εἰπεῖν· *τὸ δὲ παιδίον ηὔξανεν* καὶ τὰ ἑξῆς. Τὸν τῆς κενώσεως διαδείκνυσι ταῦτα τρόπον. Ἐδύνατο δὲ λαμβάνων σοφίαν, ἀλλ' ἐπεί, ὅτε ἤρχετο, *ἐκένωσεν ἑαυτόν*, εἶπεν *πληρούμενον*, ἵνα δείξῃ, ὅτι ὃ ἐκένωσεν ἐπλήρωσε καὶ ἐλάμβανε πάλιν ἀπὸ τοῦ πληρώματος. Οὐ γὰρ προσθήκην σοφίας δέχεται, καθ' ὃν νοεῖται θεὸς ὁ ἐν πᾶσι τέλειος, ἀλλὰ τοῦ θεοῦ λόγου τῇ τοῦ σώματος ἡλικίᾳ συνεκτείνοντος κατὰ βραχὺ τῆς σοφίας τὴν ἔκφανσιν, ἢ ἀντὶ τοῦ μειζόνως ἐκ τοῦ δὲ ἐθαυμάζετο χαριέστερος παρὰ τοῖς ὁρῶσι διὰ τῶν ἀποτελεσμάτων δεικνύμεν προκοπτούσης, ὡς ἔστι μᾶλλον [...]

---

**162, 1–2** Τὸν…τρόπον Cyril, *Comm.* 72.508,10–11 | Cramer 2.25,25–26 **2–4** Ἐδύνατο… πληρώματος Orig. *Hom.* 18.111,15–20 **4–5** Οὐ…τέλειος Cyril, *Comm.* 72.508,21–23 **5–6** ἀλλὰ…ἔκφανσιν Cyril, *Comm.* 72.508,24–26 | Cramer 2.26,6–8 **6–8** ἢ…μᾶλλον Cyril, *Comm.* 72.509,29–32

---

**4** ἔτι γὰρ ἑπτὰ ζήσασα ἔτη] ἔτη γὰρ ἑπτὰ ζήσασα Orig. *Hom.* 17.108,24 | παρθενίας] παρθενείας M **7** παρθενίαν] παρθενείαν M **162, 2** ταῦτα om. Cyril, *Comm.* 72.508,10 | δὲ] εἰπεῖν· προέκοπτε add. Orig. *Hom.* 18.111,15 **4** ἀπὸ τοῦ πληρώματος] ταῦτα, ἀφ' ὧν ἑκὼν κεκένωτο Orig. *Hom.* 18.111,20 | γὰρ om. Cyril, *Comm.* 72.508,21 | δέχεται] δεχόμενος Cyril, *Comm.* 72.508,22 **5** τέλειος] παντέλειος Cyril, *Comm.* 72.508,23 **6** ἢ…ἐθαυμάζετο] ἀλλ' ὅτι μειζόνως ἀεὶ θαυμαζόμενος Cyril, *Comm.* 72.508,29–30 **7** δεικνύμεν] ἀπεδείκνυτο Cyril, *Comm.* 72.509,31